eul_wid: nca-aa

Φιλόξενος ὁ Ἀλεξανδρεύς · Philoxenus of Alexandria

# On Monosyllabic Verbs

## Ἀποσπάσματα

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Κοινή Koine
**Domain:** Γραμματική Grammar
**Format:** Πραγματεία Treatise

t1-31 ΠΕΡΙ ΜΟΝΟΣΥΛΛΑΒΩΝ ΡΗΜΑΤΩΝ a.

1 Et. Gud. 379, 11 Stef.: δραπέτης · παρὰ τὸ δρῶ τὸ σημαῖνον τὸ ὑπηρετῶ καὶ τὸ πετῶ ῥῆμα δραπέτης· ὅτι οἱ φεύγοντες τὴν δεσποτικὴν ὑπηρεσίαν ὑπὲρ τοῦ μὴ ληφθῆναι ὡς οἷοί τέ εἰσι τάχει χρῶνται. Φιλόξενος ἐν δευτέρῳ τῶν Περὶ μονοσυλλάβων ῥημάτων. b. Et. Gen. AB s. v. δραπέτης (ex Orione), unde EM 286, 42: δραπέτης · ὁ φυγάς. παρὰ τὸ δρῶ, τὸ ὑπηρετῶ, ἐξ οὗ γέγονεν ἀποδρῶ, τὸ ἀποφεύγω, ὅθεν καὶ ἀπέδρα, ὁ μέλλων δράσω καὶ μετὰ τοῦ πετῶ τοῦ σημαίνοντος τὸ ἀφίπταμαι, γέγονε δραπέτης, ὁ ἀποπτὰς καὶ ἀποστὰς τῆς ὑπηρεσίας. a.

2 Schol. BHQ Vind. 133 ad ξ 485: ἐμμαπέως · ταχέως, ἅμα τῷ λόγῳ. οὕτω δὲ Φιλόξενος σχηματίζει τὴν λέξιν ἐν δευτέρῳ Περὶ μονοσυλλάβων ῥημάτων· παρὰ τὸ ἔπος γράφουσι σύνθετον τὸ ἀμεπής, ὡς ψεῦδος ἀψευδής. εἶτα ἐξ αὐτοῦ γράφουσι μεσότητος ἐπίρρημα ἀμεπῶς, ὡς ἀψευδῶς, καὶ ἐν Ἰωνικῇ διαλύσει ἀμεπέως, ὡς ἀψευδέως. καὶ ἐπεὶ τρεῖς βραχεῖαι ἀλλεπάλληλοι οὐ συνίστανται, τῷ διπλασιασμῷ τοῦ μ καὶ ἀντιπαραχωρήσει τοῦ α καὶ ε γίνεται ἐμμαπέως. b. Et. Gen. A I A II *B s. v. ἐμμαπέως (ex Orione), unde EM 335, 1: ἐμμαπέως · ... γέγονε παρὰ τὸ ἅμα τὸ σημαῖνον τὸ ὁμοῦ καὶ ἐξαίφνης καὶ τὸ ἔπος, ὃ σημαίνει τὸν λόγον, ἀμεπέως· καὶ κατὰ μετάθεσιν τῶν φωνηέντων καὶ πλεονασμῷ τοῦ μ ἐμμαπέως, οἱονεὶ ἅμα τῷ λόγῳ καὶ τὸ ἔργον, ταχέως· „ὁ δ’ ἄρ’ ἐμμαπέως ἀπόρουσεν“ (E836). c. Or. 51, 14 in sede scholiorum: ἐμμαπέως · κατὰ μετάθεσιν καὶ πλεονασμῷ τοῦ μ ἀμεπέως, ἅμα τῷ λόγῳ. a.

3 Or. 22, 3 (unde schol. A ad β 269 b Erbse; Et. Gud. 252, 21 Stef.): ἀχρεῖον · χρῶ ἐστι ῥῆμα δηλοῦν τὸ ἅπτομαι καὶ πλησιάζω, οὗ παράγωγον χραύω· „χραύσῃ μέν τ’ αὐλῆς ὑπεράλμενον“ (E138). ἀφ’ οὗ τὸ „ἔχραε“ (ε396), τὸ ἐπεβάρησεν. χρῶ οὖν 〈 *** 〉 καὶ μετὰ τοῦ α στερητικοῦ ἀχρὴς καὶ ἀχρεῖον, τὸ ἀσθενὲς καὶ βάρους ἀμέτοχον· „ἀλγήσας δ’ ἀχρεῖον ἰδὼν ἀπεμόρξατο δάκρυ“ (B269), ἀντὶ τοῦ ἀσθενῶς καὶ ταπεινῶς. ἐπὶ δὲ τῆς Πηνελόπης „ἀχρεῖον δ’ ἐγέλασσεν“ (ς 163), ἐπίπλαστον καὶ ὑποκεκριμένον καὶ ἐπιπόλαιον μέχρι τοῦ τὰ χείλη μόνον διανοίγειν. τοῦ δὲ ἀχρὴς κτητικῷ τύπῳ ἀχρήϊον. οὕτως Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. b. Et. Gen. AB s. v. ἀχρεῖον (unde EM 182, 37): ἀχρεῖον· ἔστι ῥῆμα χρῶ δηλοῦν τὸ ἅπτομαι καὶ πλησιάζω, ἐξ οὗ παράγωγον χραύω· „χραύσῃ μέν τ’ αὐλῆς ὑπεράλμενον“ (E 138). ἀφ’ οὗ καὶ τὸ „ἔχραε“ (ε 396), τὸ ἐπεβάρυνεν· ἐξ οὗ χρὴς καὶ μετὰ τοῦ στερητικοῦ α ἀχρὴς καὶ ἀχρεῖον, τὸ ἀσθενὲς καὶ βάρους ἀμέτοχον, οἷον „ἀλγήσας δ’ ἀχρεῖον ἰδὼν ἀπεμόρξατο δάκρυ“ (B 269), ἀντὶ

τοῦ ἀσθενῶς καὶ ταπεινῶς. ἐπὶ δὲ τῆς Πηνελόπης, οἷον „ἀχρεῖον δ’ ἐγέλασσεν“ (ς 163), ἐπίπλαστον καὶ ἐπιπόλαιον μέχρι τοῦ τὰ χείλη διανοίγειν. a.

4 Or. 59, 20: ἐρωή · ἡ ὁρμή. ῥῶ ἐστι ῥῆμα καὶ ῥώω, ὅθεν τὸ „ἐρρώσαντο“ (Ω 616). καὶ τὸ τούτου ῥηματικὸν ὄνομα ῥωή, ὡς ζῶ ζωή, καὶ πλεονασμῷ τοῦ ε ἐρωή. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. b. Et. Gen. A I B s. v. ἐρωή (ex Orione), unde EM 380, 49, Et. Sym. cod. V ap. Gaisf. EM 1093 D: ἐρωή · κυρίως ἡ ὁρμή· καὶ κατὰ μετάληψιν ἡ ἰσχύς, οἷον „ὁ δ’ οὐχ ὑπέμεινεν ἐρωήν“ (Ξ 488). εἴρηται παρὰ τὸ ῥῶ, τὸ ὁρμῶ· Ἡσίοδος (Th. 8) „ἐπερρώσαντο δὲ ποσσίν“. ῥῶ ῥώω, ὡς ζῶ ζώω ζωή, ῥῶ ῥωή, καὶ πλεονασμῷ τοῦ ε ἐρωή· ἐξ οὗ καὶ τὸ ἐρωῶ ῥῆμα, ἐρωήσω· „αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί“ (Α 303). Or.

5 67, 1 (unde Et. Gen. AB s. v. ζαχρειής = EM 408, 32): ζαχρειής · χρῶ ἐστι ῥῆμα, τὸ πλησιάζω, {παρὰ τὸν χρῶτα}, οὗ παράγωγον χραύω, ὡς 〈ψῶ〉 ψαύω, οἷον „χραύσῃ μέν τ’ αὐλῆς ὑπεράλμενον“ (Ε 138). ἔστιν οὖν χρῶ καὶ χρὴς ὄνομα ῥηματικόν, καὶ κατὰ πλεονασμὸν τοῦ ε μετὰ τοῦ ζα ἐπιτατικοῦ μορίου γίνεται ζαχρεής· καὶ ζαχρειὴς κατὰ πλεονασμὸν τοῦ ι, ὡς ἀδελφὸς ἀδελφειός. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων. EM 442, 39 (e pleniore Et.

6 Gen., ut videtur)· θάνατος · ... Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων· ἔστι ῥῆμα θῶ, τὸ ἀποτίθεμαι, πλεονασμῷ τοῦ ν θνῶ, καὶ θνῶν ἡ μετοχὴ ἀκολούθως· πλεονασμῷ τοῦ α θανῶ, ὁ μέλλων θανήσω, ῥηματικὸν ὄνομα θανητός, μετὰ συστολῆς τοῦ η εἰς α ἀνεδόθη ὁ τόνος καὶ ἐγένετο θάνατος, ὁ τὴν αἰωνίαν δηλῶν ἀπόθεσιν. a.

7 Et. Gen. AB s. v. θῶκος (de cod. B vide Miller, Mélang. p. 162), unde EM 460, 8 mutato ordine, cf. Et. Sym. cod. V ap. Gaisf. EM 1316 AB: θῶκος · ἡ καθέδρα. παρὰ τὸ θῶ ῥῆμα, ὃ σημαίνει κατὰ ἀντίφρασιν τὸ ἑδραιῶ, ὁ μέλλων θώσω 〈ἐξ οὗ〉 γίνεται θῶκος, ἡ τοῦ θεῖν ἡμᾶς ἐπέχουσα καθέδρα. τὸ δὲ θῶ γέγονε παρὰ τὸ θοῶ, ἀφ’ οὗ τὸ θοάζω, ὡς βοῶ βοάζω, ὥσπερ Σοφοκλῆς Οἰδίποδι (2) „τίνας ποθ’ ἕδρας τάσδε μοι θοάζετε“, ἀντὶ τοῦ προκαθέζεσθε, καὶ „νύκτα θοήν“ (cf. Κ394) τὴν ἑδραίους ἡμᾶς ποιοῦσαν καὶ „δαῖτα θοήν“ (cf. θ 38)· τὸ γὰρ θοὸν δηλοῖ τὸ ἑδραῖον καὶ ἀσφαλὲς καὶ ἰσχυρόν. οὕτως Φιλόξενος Περὶ μονοσυλλάβων καὶ Ὠρίων. b. Or. 73, 12: θῶκος · παρὰ τὸ θάσω καὶ θώσω, ὅ ἐστιν ἀπὸ τοῦ θῶ, οὗ μέλλων θώσω. οὕτω Φιλόξενος. c. Ep. Hom. AO 1, 200, 29 (unde EM 453, 14): θοῇ· ... σημαίνει δὲ καὶ τὸ ἀσφαλές· „θοῶς δ’ ἐπὶ δεσμὸν ἴῆλαι“ (φ 241), ἀντὶ τοῦ ἀσφαλῶς. ἐκ τούτου δὲ τὸ ἑδραῖον καὶ ἐκ τοῦ ἑδραίου τὸ ἰσχυρόν. καὶ „θοὴν δαῖτα“ τὴν ἑδραίαν καὶ ἀκίνητον διὰ τὸ καθέζεσθαι καὶ ταύτης τυγχάνειν· ἔνθεν καὶ τὸ θοάζειν· „τίνας ποθ’ ἕδρας τάσδε μοι θοάζετε“ (Soph. OT 2). οὕτως οὖν καὶ „θοὴν νύκτα“ (cf. Κ 394) τὴν ἑδραίαν, οὐχ ὥς τινες τὴν μέλαιναν, ἀλλὰ τὴν ἀκίνητον, ὅτε ἀκινητεῖται τὰ φῦλα πάντα. ταύτῃ γὰρ καὶ „νὺξ ἀβρότη“ (Ξ 78) εἴρηται κατὰ στέρησιν τοῦ προϊέναι. καὶ τὸ „νυκτὸς ἀμολγῷ“ (Λ 173) οὐχ ὡς ἔνιοι κατ’ ἐκεῖνο τῆς ὥρας, ᾗ ἀμέλγεται τὰ θρέμματα, ἀλλ’ ἀπὸ τοῦ μολῶ ἀμολὸς καὶ ἀμολγός. ὡς ἀπὸ τοῦ θῶ οὖν γέγονε τίθημι· τὸ δὲ τιθέμενον ἀσφαλές. καὶ παρὰ τῷ Ἀντιμάχῳ (fr. 187 Wyss) „Ἄϊδος ἐκπρολιποῦσα θοὸν δόμον“, οὐ τὸν μέλανα, ἀλλὰ τὸν ἀκίνητον. Et.

8 Gen. AB s. v. ἰάλεμος (unde EM 462, 52. 56): ἰάλεμος · ... γέγονε δὲ ἀμφότερα οὕτως. ἔστιν ἵημι, ἐκ τούτου γίνεται ἴηος, ἐκ τοῦ ἴηος γίνεται ἰήεμος διὰ τοῦ ε κατὰ τὴν παραλήγουσαν· εἶτα κατὰ τροπὴν τοῦ η εἰς α ἰάεμος καὶ πλεονασμῷ τοῦ λ ἰάλεμος ἐπὶ τοῦ θρήνου. καὶ ἰηλεμίσαι ἐπὶ τοῦ θρηνῆσαι, ὡς παρὰ Καλλιμάχῳ (fr. 383, 16 Pf.), οἷον „εἰδυῖαι φάλιον ταῦρον ἰηλεμίσαι“. οὕτως Φιλόξενος Περὶ μονοσυλλάβων, ὥς φησιν Ὠρίων. Or.

9 84, 29 (unde Et. Gen. AB s. v. κήλη = EM 510, 41): κήλη καὶ κάλη · τὸ πάθος. παρὰ τὸ κῆλον καὶ κᾶλον, ὅ ἐστι ξύλινον καὶ ξηρόν, ἀφ’ οὗ παρώνυμον κάλη καὶ κήλη· περὶ τὰ μέρη γὰρ ἐκεῖνα εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄγκον ἐπιδέδωκε τοῦ συνήθους μείζονα· ἀφ’ οὗ καὶ σκληρά. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. a.

10 Or. 85, 35 (unde Et. Gen. AB s. v. κηώεις = Et. Sym. cod. V ap. Gaisf. EM 1463 A): κηώεις · ἐπὶ τοῦ θαλάμου. παρὰ τὸ κέω, τὸ κοιμῶμαι· „ὄρσο κέων, ὦ ξεῖνε“ (η 342), γέγονε κεώεις καὶ κηώεις, ὁ εἰς τὸ κοιμᾶσθαι εἰργασμένος. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. b. Ep. Hom. AO 1, 241, 3 (unde Et. Gud. 321, 1 St. et cod. z p. 261; EM 512, 28): κηώεις · ἐπὶ τοῦ θαλάμου. ἐκ τοῦ κέω, τὸ κοιμῶμαι, κεώεις καὶ τροπῇ κηώεις· οἱονεὶ ὁ πρὸς τὸ κοιμᾶσθαι ηὐτρεπισμένος καὶ εἰργασμένος οἶκος. καὶ ὁ ποιητὴς (η 342) „ὄρσο κέων, ὦ ξεῖνε“, ἀντὶ τοῦ κοιμήθητι διεγερθείς. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. Or.

11 84, 6 (unde Et. Gen. A s. v. κναφεύς [om. B] = EM 521, 40)· κναφεύς · παρὰ τὸ κνάπτω, ὅπερ ἐστὶν ἀπὸ τοῦ κνῶ, τὸ ξύω· ξύουσι γὰρ τὴν τῶν ἀκνάπτων ἱματίων κροκύδα. οὕτως Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. Or.

12* 109, 33 (unde Et. Gen. AB s. v. νᾶμα = EM 597, 25; Et. Gud. 402, 33 St. et cod. z p. 320)· νᾶμα · παρὰ τὸ νῶ, τὸ ῥέω, οὗ ὁ μέλλων νάσω, ἐξ αὐτοῦ νᾶμα, ὡς δράσω δρᾶμα. a.

13 Or. 110, 1 (unde Et. Gud. cod. z p. 325): ναρόν · παρὰ τὸ αὐτὸ ῥῆμα νῶ, νάσω ναρόν. Σοφοκλῆς Τρωΐλῳ (fr. 564 N. 2 = 621 P.)· „πρὸς ναρὰ καὶ κρηναῖα χωροῦμεν ποτά“. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. b. Et. Gen. AB s. v. νάρων (unde EM 597, 43): ναρόν · παρὰ τὸ νῶ ῥῆμα τὸ δηλοῦν τὸ ῥέω, ὁ μέλλων νάσω, γίνεται ναρὸς καὶ τὸ οὐδέτερον ναρόν. Σοφοκλῆς Τρωΐλῳ (fr. 564 N. 2 = 621 P.)· „πρὸς ναρὰ καὶ κρηναῖα χωροῦμεν ποτά“. οὕτως Φιλόξενος. Or.

14 111, 14 (unde Et. Gen. A s. v. ξηρόν [gl. evan. in B] EM 611, 3; Cyrilli Lex. codd. b N, de cod. b vide AP 4, 187, 8; Et. Gud. cod. z p. 330): ξηρόν · παρὰ τὸ ξέω ῥῆμα· ἀπὸ μεταφορᾶς τῆς ὕλης τῶν ξύλων· εἴ τι γὰρ ἔξυσται, ξερὸν γίνεται. καὶ κατὰ τροπὴν τοῦ ε εἰς η ξηρόν. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. Or.

15 120, 11 (unde Et. Gen. A s. v. ὄπα, om. B): ὄπα · τὴν φωνήν. Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων παρὰ τὸν ἔψω μέλλοντα, οὗ θέμα ἔπω, τὸ λέγω, ἔψω ἒψ καὶ τροπῇ τοῦ ε εἰς ο ὄψ, ὀπὸς ὀπὶ ὄπα, ὡς ἀπὸ τοῦ ἕλκω ἕλξω ἓλξ ὄνομα καὶ τροπῇ τοῦ ε εἰς ο ὄλξ, κατ’ ἔκτασιν τοῦ ο 〈εἰσ〉 ω ὦλξ· „ὦλκα βαθεῖαν“ (Call. h. 3, 180) Ὅμηρος. Schol.

16 Eur. Phoen. 264: οὐ μεθῶς’ ἀναίμακτον χρόα· ἡ μὲν γραφὴ οὐκ ἐκφρῶσιν. οἱ οὖν ὑποκριταὶ διὰ τὸ δυσέκφορον μεταπλάττουσι τὴν λέξιν. καὶ Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων, ὅτε διαλαμβάνει περὶ τοῦ φρῶ, ταύτην τὴν χρῆσιν φέρει. Or.

17 134, 1 (unde Et. Gen. AB s. v. πίθηκος = EM 671, 47; Cyrilli Lex. codd. b N, de b vide AP 4, 188, 13, Et. Gud. 467, 18 St.): πίθηκος · παρὰ τὸν πιθήσω μέλλοντα, ὅπερ ἀπὸ τοῦ πιθῶ περισπωμένου γέγονεν· πείθει γὰρ ἡμᾶς τὸ ζῷον εἰδεχθὲς ὂν προσέχειν αὐτῷ. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. a.

18 Schol. AT ad κ 290: πρόφρασσα · ἐνόμισάν τινες εἶναι θηλυκὸν τὸ „πρόφρασσα“, οὐκ ἔστι δὲ ἀληθές. Φιλόξενος γὰρ ἐν τῷ Περὶ μονοσυλλάβων φησίν, ὅτι ἔστιν ἰδιότυπος ῥηματικὸς χαρακτήρ· καὶ ὡς παρὰ τὸ βήσω βῆσα καὶ βῆσσα, ἄξω ἄξα καὶ ἄμαξα, πείσω πεῖσα· „τῷ δ’ ἄρ’ ἔτ’ ἐν πείσῃ κραδίη μένε τετληυῖα“ (υ 23), οὕτω καὶ ἀπὸ τοῦ φρῶ φρήσω φρῆσα, καὶ κατὰ τροπὴν φράσα καὶ πρόφρασα καὶ πρόφρασσα. ἔστι δὲ τὸ φρῶ, ὥς φησιν, ἀπὸ τοῦ προϊῶ, πρῶ κατὰ συγκοπὴν καὶ τροπῇ τοῦ π εἰς φ φρῶ. ἔστιν οὖν τὸ πρόφρασσα παρὰ τὸ προϊέναι καὶ προθυμεῖσθαι. μέμνηται καὶ Ὠρίων τούτων ἐν τῷ Περὶ ἐτυμολογιῶν. b. Et. Gen. AB s. v. πρόφρασσα (unde EM 691, 36): πρόφρασσα · ἐνόησάν τινες εἶναι θηλυκόν· οὐκ ἔστι δέ. Φιλόξενος γὰρ ἐν τῷ Περὶ μονοσυλλάβων φησίν, ὅτι ἔστιν ἰδιότυπος ῥηματικὸς χαρακτήρ. ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρὰ τὸ βήσω βῆσσα καὶ ἅξω ἅξα καὶ ἅμαξα, οὕτως καὶ παρὰ τὸ φρῶ, ὃ παρὰ τὸ προϊῶ γίνεται, φρῆσσα καὶ φράσσα καὶ ἐν συνθέσει πρόφρασσα. σημαίνει δὲ τὸ προδιανοηθεῖσα πρὶν ἐκεῖνον προσκαλέσασθαι, αὐτεπάγγελτος. c. Or. 134, 17: πρόφρασσα · παρὰ τὸ φρῶ, ὅπερ ἐστὶ ἀπὸ τοῦ προϊῶ. φρῶ φρῆσα, φράσσα καὶ πρόφρασσα. παρὰ τὸ προϊέναι καὶ προθυμεῖσθαι. Et.

19 Gen. AB s. v. ῥῆμα (ex Orione), unde EM 703, 39: ῥῆμα · ἀπὸ τοῦ ῥῶ, τὸ λέγω. ἔστι δὲ τὸ ῥῶ β′ συζυγίας, οὗ ὁ μέλλων ῥήσω, ὁ μέσος μέλλων ῥηθήσομαι καὶ ἐρρήθην ὁ ἀόριστος. ῥῶ οὖν τὸ λέγω, ὁ μέλλων ῥήσω, ἐξ οὗ ῥῆσις καὶ ῥήτωρ καὶ ῥητήρ. οὕτως Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων, ὡς λέγει Ὠρίων. Or.

20 147, 32 (unde Et. Gen. AB s. v. σεμνός = EM 709, 48, Lex. Αἱμ. 629, 16): σεμνός · παρὰ τὸ σέβω σεβνὸς καὶ σεμνὸς τροπῇ τοῦ β εἰς μ. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. a.

21 Or. 149, 21: στίζω · παρὰ τὸ στῶ στίζω. τὸ τὸν διακεχυμένον καὶ πεπλανημένον λόγον στῆσαι. ὁ δὲ Φιλόξενός φησιν ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων, 〈ὅτι〉 στίζειν ἐστὶ τὸ τῆς ἐν τῇ ἀναγνώσει φορᾶς στάσιν ποιεῖν στίζειν λέγομεν· ἀπὸ τοῦ στίζω στιγμή. b. Et. Gen. AB s. v. στιγμή (unde EM 727, 54): στιγμή · παρὰ τὸ στίζω στιγὴ καὶ πλεονασμῷ τοῦ μ. τὸ δὲ στίζω παρὰ τὸ στῶ στίζω, ὡς φοιτῶ φοιτίζω. τὸ τὸν διακεχυμένον καὶ πεπλανημένον λόγον στῆσαι. ὁ δὲ Φιλόξενος στίζειν τὸ τῆς ἐν τῇ ἀναγνώσει φορᾶς στάσιν ποιεῖν. στίζω στίξω στιγμή. Or.

22 151, 35 (unde Et. Gen. AB s. v. τάφος = EM 748, 23, Et. Gud. 523, 21 St.): τάφος · ὅπου τίθεται τὰ λείψανα. παρὰ τὸ θῶ καὶ τιθῶ, παράγωγον θάπτω, ῥηματικὸν ὄνομα θάπτος καὶ πάλιν τροπῇ τοῦ θ εἰς τὸ τ καὶ τοῦ π εἰς τὸ φ καὶ ἀποβολῇ τοῦ τ 〈τάφοσ〉 · περιττὸν γάρ ἐστι τὸ τ ἐν τῷ ῥηματικῷ. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. Or.

23 152, 32 (unde Et. Gen. AB s. v. τιθήνας = EM 758, 23): τιθήνη · παρὰ τὸν τιτθόν, ὃ σημαίνει τὸν μαστόν, γίνεται τιτθήνη καὶ ἀποβολῇ τοῦ ἑνὸς τ τιθήνη. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. ὁ αὐτὸς καὶ παρὰ τὸ θῶ τὸ δηλοῦν τὸ τρέφω, ὁ μέλλων θήσω, ὄνομα ῥηματικὸν θήνη καὶ διπλασιασμῷ τιθήνη. Or.

24 156, 25 (unde Et. Gen. B s. v. ὕπαρ [deest A] = EM 777, 33): ὕπαρ · ὧ ἐστι ῥῆμα δηλοῦν τὸ ὑπάρχω, ἀφ᾽ οὗ ῥηματικὸν ὄνομα ἄρ, ὡς θένω θέναρ, ἔδω ἔδαρ καὶ εἶδαρ, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὕπαρ. οὕτως Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. Or.

25 157, 6 (unde Ep. Hom. AP 3, 336, 3): ὑπόδρα · ῥῆμά ἐστι δέρκω, ὃ κατὰ συγκοπὴν γίνεται δρῶ τὸ σημαῖνον τὸ ὁρῶ, ὅθεν καὶ τὸ ὑποδρώμενοι εἴρηται, ἀντὶ τοῦ ὑφορώμενοι. καὶ ὡς ἐγένετο ἀπὸ τοῦ μίσγω μίγδα καὶ ἠρεμῶ ἠρέμα, οὕτω καὶ ἀπὸ τοῦ δρῶ δρὰ καὶ ἐν συνθέσει ὑπόδρα. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. Or.

26 160, 23 (unde Et. Gen. AB s. v. Φάρος = EM 788, 10): Φάρος · νῆσος ἡ πρὸ τῆς Αἰγύπτου. παρὰ τὸ φῶ, τὸ φαίνω, οὗ παράγωγον φάω, 〈φάσω〉 Φάρος· παρὰ τὸ φαίνεσθαι αὐτὴν πρὸ τῆς Αἰγύπτου. Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. a.

27 Et. Gud. codd. d fol. 140 r , z p. 440: φράζω · ἀπὸ τοῦ φρῶ. τοῦτο ἀπὸ τοῦ προϊῶ. φρῶ φράζω, ὡς φοιτῶ φοιτάζω· τῶν γὰρ νοηθέντων ἔκδοσιν καὶ δεῖξιν διὰ τοῦ φράζειν ποιούμεθα. οὕτω Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων. b. Et. Gen. B s. v. φράζω (deest A), unde EM 799, 16: φράζω · παρὰ τὸ φρῶ, ὅπερ ἀπὸ τοῦ προϊῶ. φρῶ οὖν φράζω, ὡς φοιτῶ φοιτάζω, βῶ βάζω, οὕτως καὶ φράζω· τῶν γὰρ νοηθέντων ἔκδοσιν καὶ δεῖξιν διὰ τοῦ φράζειν ποιούμεθα. c. Or. 161, 3: φράζω · κατὰ τὸ αὐτὸ παράγωγον τοῦ φρῶ. ἀπὸ τοῦ προϊῶ φρῶ φράζω. a.

28* Or. 160, 38 in sede Philoxeni: φρέαρ · παρὰ τὸ φρῶ, ἀφ᾽ οὗ τὸ εἰσφρῶ. ἀπὸ τοῦ προϊῶ κατὰ συναλιφήν. φρῶ οὖν φρέαρ· ἀναδίδωσι γὰρ καὶ προΐησι 〈τὴν〉 τῶν ὑδάτων ῥύμην. b. Et. Gen. B s. v. φρέαρ (deest A), unde Et. Sym. cod. V ap. Gaisf. EM 2234 f: φρέαρ · παρὰ τὸ φρῶ, ὅπερ ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ προϊῶ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ π εἰς τὸ φ φρῶ· ἔνθεν τὸ εἰσφρῶ. φρῶ οὖν φρέαρ, ὡς θένω θέναρ· προΐησι γὰρ τὴν τῶν ὑδάτων ῥύμην. a.

29 Ep. Hom. cod. Oxon. Novi Colleg. 298 (ad α 55): φρὴν δὲ γέγονε παρὰ τὸ φρῶ ῥῆμα κατὰ συγκοπὴν γενόμενον ἀπὸ τοῦ προϊῶ τοῦ σημαίνοντος τὸ πέμπω· πρῶ καὶ κατὰ μετάθεσιν τοῦ π εἰς φ γέγονε φρῶ, καὶ ἐντεῦθεν φρήν, ἀφ’ ἧς προΐεται τὰ βουλεύματα. οὕτω Φιλόξενος. b. Schol. Vatic. Dion. Thr., Gramm. Gr. I 3, 247, 21 Hilgard: φρονῶ ἁπλοῦν. κατὰ δὲ Φιλόξενον αὐτόθεν ἁπλοῦν· φρῶ γάρ φησι ῥῆμα δηλωτικὸν τοῦ προϊέναι, παρ’ ὃ καὶ φρὴν ἡ προϊεμένη, ἤγουν προπέμπουσα τὰ νοήματα, καὶ φρέαρ, ἀφ’ οὗ προΐεται τὸ ὕδωρ, καὶ ἀφρὸς τοῦ α ἐπίτασιν δηλοῦντος· τί γὰρ τούτου μᾶλλον εἰς τὸ ἄνω προΐεται; c. Or. 161, 1: φρήν · παρὰ τὸ αὐτὸ ῥῆμα τὸ φρῶ φρήν· τί γὰρ γονιμώτερον τῆς φρενός; d. Et. Gen. B s. v. φρήν (deest A), unde EM 799, 42: φρήν · ἀπὸ τοῦ προϊῶ, τὸ προπέμπω, συγκοπῇ πρῶ καὶ φρῶ· ἐξ οὗ φρήν· ἀφ’ ἧς προΐεται τὰ βουλεύματα. a.

30 Or. 165, 9 (unde Et. Gud. 563, 3 St., cod. z p. 445): χάρτης · παρὰ τὸ χῶ, τὸ χωρῶ, οὗ ὁ μέλλων χήσω. ὥσπερ τὸ χῶ, τὸ διαχέομαι, παράγωγον ποιεῖ τὸ χαίρω, οὕτω καὶ τὸ χῶ ἐπὶ τοῦ χωρῶ παράγωγον ποιεῖ τὸ χαίρω οὐκ ἐπὶ τοῦ σημαινομένου τὸ χαίρειν, 〈ἀλλ’ ἐπὶ τοῦ χωρεῖν〉. παρὰ δὲ τὸ αὐτὸ χαίρω χάρτης, χωρητικὸς ὢν τῶν ἐγγραφομένων. Φιλόξενος ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων. b. Et. Gen. B s. v. χάρτης (deest A), unde EM 807, 24, Et. Sym. cod. V ap. Gaisf. EM 2255 B: χάρτης · παρὰ τὸ χῶ τὸ σημαῖνον τὸ χωρῶ, ἀφ’ οὗ καὶ τὸ χάζω, γίνεται παράγωγον χαίρω οὐκ ἐπὶ τῆς χαρᾶς· ἀφ’ οὗ γίνεται χάρτης, χωρητικὸς ὢν τῶν ἐγγραφομένων. Or.

31 166, 31 (unde Et. Gen. B s. v. ψιάδες [deest A] = EM 818, 47; Et. Gud. 573, 61 St.): ψιάδες · ... ὁ δὲ Φιλόξενός φησιν, ὅτι ψῶ ἐστι ῥῆμα καὶ παράγωγον ψαύω καὶ ψίω, ἀφ’ οὗ ψιάς, ἡ κατὰ λεπτὸν τοῦ ὕδατος ἔκδοσις, ὡς λάμπω λαμπάς, ἴλλω ἰλλάς· „ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν“ (N 572). ψῶ δὲ ῥῆμα, ὅθεν τὸ καταψᾶν. οὕτως ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων Φιλόξενος. E LIBRO ΠΕΡΙ ΜΟΝΟΣΥΛΛΑΒΩΝ ΡΗΜΑΤΩΝ Or.

32* 20, 27 in sede Philoxeni, EM 10, 49 (Ex Et. Gen.), Et. Gud. 13, 16 Stef.: ἄγκη · οἱ κοῖλοι τόποι τῆς γῆς. παρὰ τὸ κέω, 〈ἐξ〉 οὗ κατὰ συναλιφὴν κῶ δηλοῦν τὸ κεῖσθαι, γέγονεν ἄγκος, ἐν ᾧ ἐστι συνάγεσθαί τε καὶ κεῖσθαι. a.

33 Or. 612, 29 Werf. (codd. HI), unde Et. Gud. 31, 20 Stef.: Ἀθήνη · παρὰ τὸν θήσω μέλλοντα δηλοῦντα τὸ θηλάσω· „γυναῖκά τε θήσατο μαζόν“ (Ω 58). θήσω καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν θήνη καὶ μετὰ τοῦ στερητικοῦ α Ἀθήνη· ἀμήτωρ γὰρ ἡ θεός, ὡς παραδέδοται. οὕτω Φιλόξενος. b. Et. Gen. B s. v. Ἀθηνᾶ (deest A), unde EM 24, 44; Et. Sym. 90, 13 S.: Ἀθηνᾶ · ... ἢ παρὰ τὸν θήσω μέλλοντα τὸν δηλοῦντα τὸ θηλάσω, οἷον „γυναῖκά τε θήσατο μαζόν“ (Ω 58), γέγονεν ὄνομα ῥηματικὸν θήνη καὶ μετὰ τοῦ στερητικοῦ α Ἀθήνη· ἀμήτωρ γὰρ ἡ θεός· ἐκ γὰρ τῆς κεφαλῆς τοῦ Διός φασιν αὐτὴν γεννηθῆναι. c. Ep. Hom. AP 3, 340, 1: Ἀθήνη · ἔστι ῥῆμα θῶ, τὸ θηλάζω, ἐξ οὗ ὁ μέλλων θήσω, καὶ ῥηματικὸν ὄνομα θήνη καὶ μετὰ τοῦ στερητικοῦ α Ἀθήνη, ἡ μὴ θηλάσασα· ἀμήτωρ γὰρ παραδέδοται. Et.

34* Gen. B s. v. ἀκέων (vide Miller, Mélang. p. 18, deest A), unde Et. Sym. cod. V ap. Gaisf. EM 127 D: ἀκέων · ... ἢ παρὰ τὸ κέω, τὸ κοιμῶμαι, κέων ἡ μετοχή· „ὦρσο κέων, ὦ ξεῖνε“ (η 342), πλεονασμῷ τοῦ α. a.

35* Or. 20, 12 in sede Philoxeni (unde Et. Gud. 67, 15 Stef.): ἀκμή · παρὰ τὸ κμῶ, ὅ ἐστιν ἀπὸ τοῦ κάμω συγκοπέν, καὶ μετὰ τῆς α στερήσεως ἀκμή· ἡ μὴ κάμνουσα ταχέως. b. Et. Gen. B s. v. ἀκμή (e Methodio, qui fort. e Philoxeno hausit [deest A]), unde EM 49, 16: ἀκμή · ... ἢ παρὰ τὸ κάμω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γέγονε κατὰ συγκοπὴν κμῶ, καὶ ἐξ αὐτοῦ κμή, καὶ μετὰ τοῦ στερητικοῦ α ἀκμή, ἡ μὴ κάμνουσα διὰ νεότητα. a.

36* Or. 26, 8 (unde Et. Gud. 72, 19 Stef.): ἄκρατος · κερῶ ἐστι ῥῆμα καὶ κατὰ συγκοπὴν κρῶ, οὗ ὁ μέλλων κράσω καὶ ὄνομα ῥηματικὸν κρατὸς καὶ μετὰ τοῦ στερητικοῦ α ἄκρατος. ἀπὸ δὲ τοῦ αὐτοῦ κρατήρ, ἀφ’ οὗ κιρνᾶται ὁ οἶνος. b. Et. Gen. B s. v. ἄκρατον (deest A), unde EM 51, 48: ἄκρατος · ἔστι ῥῆμα κερῶ, ὁ μέλλων κεράσω καὶ κατὰ συγκοπὴν κράσω· ῥηματικὸν ὄνομα κρατὸς καὶ μετὰ τοῦ στερητικοῦ α ἄκρατος, ἐξ οὗ καὶ κρατήρ, ἀφ’ οὗ κιρνᾶται ὁ οἶνος. Et.

37 Gen. AB s. v. ἀλευρόττησις (ex Orione), unde EM 60, 25; Et. Gud. 85, 19 Stef.: ἀλευρόττησις · σήθω, σήσω ὁ μέλλων, ὄνομα ῥηματικὸν σῆσις, καὶ τροπῇ τοῦ ς εἰς τὸ τ τῆσις καὶ πλεονασμῷ τοῦ τ μετὰ τοῦ ἄλευρον γίνεται ἀλευρόττησις, τὸ κόσκινον. οὕτως Φιλόξενος. Et.

38* Gen. AB s. v. ἄμβων (vide Reitz., Gesch. p. 20, 23, e Methodio), unde EM 81, 15; Et. Gud. 111, 18 Stef., Et. Sym. ap. Reitz., Gesch. p. 273, 5: ἄμβων · … παρὰ τὸ βῶ βών, ὡς γηρύω Γηρυών, καὶ ἀνάβω καὶ κατὰ συγκοπὴν ἄμβων· παρὰ τὸ ἄνω βαίνειν. a.

39* Or. 612, 26 Werf. in sede Philoxeni (codd. HI): ἀμφίβληστρον · παρὰ τὸ βλῶ βλήσω βλῆτρον καὶ πλεονασμῷ τοῦ ς 〈 *** 〉. b. Et. Gen. AB s. v. ἀμφίβληστρον (vide Reitz., Gesch. p. 39, 5), unde EM 89, 10: ἀμφίβληστρον · … Ὠρίων μὲν ἐτυμολογεῖ παρὰ τὸ βάλλω βλῶ βλήσω βλῆτρον καὶ μετὰ τῆς ἀμφὶ προθέσεως καὶ πλεονασμῷ τοῦ ς ἀμφίβληστρον. c. Et. Gud. 122, 7 Stef.: ἀμφίβληστρον · διὰ τὸ ἀμφιβάλλεσθαι ἀμφίβληστρον· ἀπὸ τοῦ βάλλω κατὰ συγκοπὴν γίνεται βλῶ, ὁ μέλλων βλήσω, βλῆτρον καὶ μετὰ τῆς ἀμφὶ προθέσεως καὶ πλεονασμῷ τοῦ ς ἀμφίβληστρον. Et.

40* Gen. AB s. v. ἀπαφῶ (fort. ex Orione), unde EM 119, 25: ἀπαφῶ · σημαίνει τὸ ἀπατῶ. ἀφῶ, τὸ κακῶς λέγω, ὡς ἄμορφον λέγομεν γυναῖκα, καὶ κατὰ σύνθεσιν ἀπαφῶ· ἔνθεν τὸ ἀπαφίσκω, τὸ ἀπατῶ καὶ παραλογίζομαι. ἢ ἡ ἀπὸ τὸ ἄπωθεν δηλοῖ· καὶ ἔγκειται τὸ φῶ, ὃ σημαίνει τὸ φαίνω, ἐξ οὗ καὶ φενάκη. Phryn.

41* Praep. Soph. 19, 8 de B.: ἀποβάθρα · ἡ τῆς νεὼς ἔκβασις, δι’ ἧς εἴσιμέν τε καὶ ἔξιμεν. λέγεται δὲ ἀπὸ τοῦ ἀποβῶ ἀποβάθρα, οὐκ ἀπὸ τοῦ ἀποβαίνω, ὥσπερ ἀπὸ τοῦ κρεμῶ κρεμάθρα καὶ ἀλινδῶ ἀλινδήθρα. Or.

42 21, 4 (unde Et. Gen. AB s. v. ἀποδρᾶν, de cod. B vide Miller, Mélang. p. 39): ἀποδρᾶν · τὸ ἐκκλίνειν. παρὰ τὸ δρῶ, τὸ ὑπηρετῶ, ὅθεν καὶ τὸ „δρηστῆρεσ“ παρ’ Ὁμήρῳ (π 248). τὸ οὖν ἀποδρᾶν ἐστι τὸ ἔξω γενέσθαι τῆς ὑπηρεσίας τῆς δεσποτικῆς. οὕτω Φιλόξενος. Or.

43* 23, 18 in sede Philoxeni (unde Et. Gen. AB s. v. ἀποκναίω = EM 126, 32): ἀποκναίω · κτῶ ἐστι ῥῆμα δηλοῦν τὸ φονεύω, ἐξ οὗ τὸ „ἀπέκτατο“ (Ο 437), οὗ παράγωγον κταίνω καὶ ἀποβολῇ τοῦ τ καίνω· καὶ μεταθέσει τοῦ ν κναίω· καὶ σύνθετον ἀποκναίω. a.

44* Et. Gen. AB s. v. ἀπολαύω (ex Orione), unde EM 126, 30: ἀπολαύω · ἀπὸ τοῦ λῶ, τὸ θέλω, ὅπερ ἀπὸ τοῦ 〈ἐ〉 θέλω γέγονεν, παράγωγον λαύω, ὡς χρῶ χραύω, καὶ ἀπολαύω. b. Et. Gud. 172, 19 Stef.: ἀπολαύω · λῶ ἐστι τὸ θέλω· Θεόκριτος (1, 12)· „λῇς ποτὶ τᾶν νυμφᾶν“, οὗ παράγωγον λαύω καὶ ἀπολαύω, τὸ ἀπέχειν καὶ ἀπολαμβάνειν, ἅ τις θέλει. a.

45* Or. 25, 5: ἀποφράδες · φῶ ἐστι ῥῆμα, τὸ λέγω, οὗ παράγωγον φάζω καὶ πλεονασμῷ τοῦ ρ φράζω, ὁ μέλλων φράσω, ὄνομα ῥηματικὸν φρὰς καὶ σύνθετον ἀποφράς, ὡς λείβω λιβάς, νείφω νιφὰς καὶ δέρκω δερκὰς καὶ δορκάς· οὕτω φράσω φρὰς καὶ ἀποφράς. ἀποφράδας δὲ ἔλεγον οἱ Ἀττικοὶ ἅσπερ ὑπελάμβανον ἡμέρας εἶναι χείρους, ἐν αἷς ἀπείρητο αὐτοῖς τὸ πράξεσιν ἐπιχειρεῖν· ἀποφράδες οὖν αἱ ἀπηγορευμέναι καὶ ἄχρηστοι. b. Et. Gen. A s. v. ἀποφράδες (gl. om. B), unde EM 131, 13: ἀποφράδες · ἀποφράδας ἔλεγον οἱ Ἀττικοὶ τὰς ἀπηγορευμένας ἡμέρας, ἃς ὑπελάμβανον χείρους εἶναι τῶν ἄλλων, ἃς δὴ καὶ ἐπεικάδας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλοῦσι φθίνοντος τοῦ μηνός, τετράδα τρίτην δευτέραν. ἢ τὰς ἡμέρας, ἐν αἷς τὰς φονικὰς δίκας ἐδίκαζον διὰ τὸ οἷον ἀποφράττεσθαι τὸ τῆς σελήνης φῶς ἐν αὐταῖς. καὶ τοὺς πονηροὺς δὲ ἀποφράδας ἐπιθετικῶς ἐκάλουν, οἷον „ἄνθρωπος ἀποφρὰς καὶ βλέπων ἀπιστίαν“ (Eupol. fr. 309 K.). γίνεται δὲ παρὰ τὸ φῶ ῥῆμα φράζω, ὁ μέλλων φράσω, ἀποβολῇ τοῦ ω φρὰς καὶ ἐν συνθέσει ἀποφράς. Suid.

46* α 3852, Et. Gud. 196, 7 Stef. (s. v. ἀριστίνδην ἐκλελεγμένους, e Lex. Αἱμ.): Ἄρης · ... σημαίνει δὲ καὶ τὸν πόλεμον. παρὰ τὸ ῥῶ, τὸ λέγω, ὁ μέλλων ῥήσω, ἐξ αὐτοῦ ῥῆς, καὶ μετὰ τοῦ στερητικοῦ α Ἄρης· ἐν γὰρ πολέμῳ οὐ λόγων, ἀλλ’ ἔργων χρεία. καὶ Ὅμηρος (Π 630)· „ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ’ ἐνὶ βουλῇ“. Et.

47* Gen. AB s. v. ἄρρατος (e Methodio), unde EM 148, 49: ἄρρατος · ... Φρύνιχος δὲ (Praep. Soph. 41, 15 de B.) ἀπὸ τοῦ ῥῶ, οὗ ὁ μέλλων ῥάσω, ὡς 〈δρῶ〉 δράσω, ῥατὸς καὶ ἄρατος καὶ ἄρρατος πλεονασμῷ τοῦ ρ. a.

48* Or. 21, 29 in sede Philoxeni (unde Et. Gud. 206, 19 Stef.): ἄρρωστος · παρὰ τὸ ῥῶ, ὃ δηλοῖ τὸ ὑγιαίνω, οὗ ὁ μέλλων ῥώσω καὶ ὄνομα ῥῶσις. {καὶ} παρὰ τὸ ῥῶ καὶ τὸ „τεύχεσιν ἐρρώσαντο“ (ω 69)· παρέπεται γὰρ τοῖς ὑγιαίνουσιν καὶ τὸ ὁρμᾶν. δύναται δὲ καὶ παρὰ τὸ ῥώω, οὗ ὁ μέλλων ῥώσω. b. Et. Gen. AB s. v. ἄρρωστος · παρὰ τὸ ῥῶ, τὸ ὑγιαίνω, τρίτης συζυγίας τῶν περισπωμένων, οὗ ὁ μέλλων ῥώσω, ῥωστὸς καὶ ἄρρωστος. a.

49* Or. 27, 14: ἀσπασίως · σπῶ ἐστι τὸ ῥῆμα, οὗ παθητικὸν σπῶμαι· {καὶ} τοῦ σπῶ παράγωγον σπάζω, ὡς βῶ βάζω. τούτῳ τῷ σπάζω ἡ α ἐπίτασις ἐπῆλθε καὶ ἐποίησεν ἀσπάζω καὶ ἀσπάζομαι· τὸ ἀσπάζεσθαι γάρ ἐστι τὸ ἄγαν ἐπισπᾶσθαι. καὶ κυρίως τοῦτό ἐστι τὸ δεξιοῦσθαι ἐπισπώμενον τὴν χεῖρα· ἔνθεν παρ’ Ὁμήρῳ (β 321)· „ἦ ῥα, καὶ ἐκ χειρὸς χεῖρα σπάσεν Ἀντινόοιο“, ἐπὶ τοῦ ἀποστρεφομένου. παρὰ δὲ τὸν ἀσπάσω μέλλοντα ἀσπάσιος ὄνομα ῥηματικόν, ὡς θαυμάσω θαυμάσιος. b. Ep. Hom. AO 1, 58, 8: ἀσπάσιος· ... ἔστι γάρ τι σπῶ ῥῆμα, ἀφ’ οὗ τὸ σπῶμαι· τούτου παράγωγον σπάζω, ὡς φρῶ φράζω, βῶ βάζω· μετὰ τοῦ ἐπιτατικοῦ α ἀσπάζω καὶ ἀσπάζομαι. σημαίνει δὲ τὸ ἄγαν ἐπισπᾶσθαι· καὶ κυρίως τοῦτό ἐστι τὸ δεξιοῦσθαι ἐπισπώμενον τὴν χεῖρα, τὸ ἀσπάζεσθαι· καὶ τοῦτό ἐστι, ὃ λέγει ὁ ποιητής (β 321)· „ἦ ῥα, καὶ ἐκ χειρὸς χεῖρα σπάσεν Ἀντινόοιο“. Et.

50* Gen. AB s. v. ἄσπετον (ex Orione), unde EM 156, 43, Et. Sym. cod. V ap. Gaisf. EM 446 F: ἄσπετος · ... ἔστι ῥῆμα μονοσύλλαβον σπῶ, ὅπερ γέγονε παρὰ τὸ ἕπω, τὸ ἀκολουθῶ, ἐξ οὗ τὸ σπᾶσθαι καὶ „ἐπισπᾶσθαι ποσίν“· ῥηματικὸν ὄνομα σπετὸς καὶ μετὰ τοῦ στερητικοῦ α ἄσπετος, οἷον „ἄσπετος αἰθήρ“ (Θ 558), ᾧ οὐκ ἄν τις ἐφίκοιτο, δυσπαρακολούθητον διὰ τὸ μέγεθος. a.

51 Et. Gud. 216, 17 Stef.: ἀσπίς · τὸ ὅπλον. σπῶ ἐστι ῥῆμα, οὗ παράγωγον σπίζω, ἀφ’ οὗ σπιδής, ὁ μακρός, καὶ σπιδὲς τὸ οὐδέτερον· ἀπὸ δοτικῆς ἀσπίδες οὖν εἴρηνται. „διὰ σπιδέος πεδίοιο“ (Λ 754), τοῦ μακροῦ. ἀπὸ οὖν τοῦ σπῶ σπίζω 〈σπίσω〉 σπὶς ῥηματικὸν ὄνομα καὶ μετὰ τῆς α στερήσεως ἀσπίς, ἡ μὴ μακρά, ἀλλὰ περιφερής. ἐπὶ δὲ τοῦ ἑρπετοῦ δύναται κατ’ ἐπίτασιν τοῦ α. οὕτω Φιλόξενος. b. Or. 29, 11 (unde Et. Gen. AB s. v. ἀσπίς = EM 157, 11): ἀσπίς · τὸ ὅπλον. παρὰ τὸ σπῶ ῥῆμα, οὗ παράγωγον σπίζω, ἀφ’ οὗ ὄνομα ῥηματικὸν σπιδές, ἤτοι μακρόν, παρὰ τὸ ἀποσπᾶσθαι καὶ διατείνεσθαι. τοῦ δὲ σπίζω ὁ μέλλων σπίσω καὶ ἀποβολῇ τοῦ ω σπὶς καὶ μετὰ τοῦ στερητικοῦ α ἀσπίς, ἥτις τοῦ μακρὰ εἶναι ἀπήλλακται· καὶ γὰρ περιφερὴς τῷ σώματί ἐστιν. ἐπὶ δὲ τοῦ ἑρπετοῦ διὰ τὸ κύκλους ποιεῖν τοῦ σώματος καὶ μὴ ταχέως ἐκτείνειν εἰς μῆκος. Or.

52 21, 1 (unde Et. Gen. AB s. v. ἀσχάλλων = EM 161, 36): 〈ἀσχάλλω〉 · ὁ δὲ αὐτός φησιν παρὰ τὸ σχῶ σχάλλω καὶ μετὰ τῆς α στερήσεως ἀσχάλλω, ὃ ἐπέχειν οὐ δυνάμεθα. Or.

53*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

20, 17 in sede Philoxeni (unde Et. Gud. 223, 25 Stef.): ἄσωτος · παρὰ τὸ σῶ, οὗ παρακείμενος σέσωσμαι, ὁ μέλλων σώσω, ὄνομα σωτὸς καὶ μετὰ τοῦ στερητικοῦ α ἄσωτος, ὡς πληρώσω πληρωτὸς ἀπλήρωτος. Et.

54* Gen. AB s. v. ἀτρεκέως καὶ ἀτρεκές (unde EM 165, 29): ἀτρεκέως καὶ ἀτρεκές · ... ἢ παρὰ τὸ τρέω, ὃ σημαίνει τὸ δέδοικα, γίνεται τρεὴς καὶ ἀτρεὴς καὶ πλεονασμῷ τοῦ κ ἀτρεκής· ὁ γὰρ εὐθαρσὴς καὶ εὔτολμος τὴν ἀλήθειαν λέγει, ὁ δὲ δεδοικὼς ψεύδεται. Et.

55* Gen. AB s. v. ἀφαυρός (unde EM 175, 43): ἀφαυρός · ... ἢ παρὰ τὸ φῶ, τὸ λέγω, ὁ μέλλων φάσω, γίνεται φαρός, καὶ μετὰ τοῦ στερητικοῦ α ἀφαρὸς καὶ πλεονασμῷ τοῦ υ ἀφαυρός, ὁ μὴ δυνάμενος δι’ ἀσθένειαν λέξαι. ἢ παρὰ τὸ φῶ, τὸ φαίνω, γίνεται παράγωγον ῥῆμα φάω, οἷον „φάε δὲ χρυσόθρονοσ“ (ξ 502), καὶ ἐξ αὐτοῦ φαρὸς ὄνομα· καὶ κατὰ στέρησιν ἀφαρὸς καὶ πλεονασμῷ τοῦ υ ἀφαυρός, ὁ ἀλαμπὴς καὶ εὐτελής. a.

56* Or. 21, 13 in sede Philoxeni: ἀφρός · ἀπὸ τοῦ φρῶ. b. Et. Gen. AB s. v. ἀφρός (unde EM 178, 47 turbato ordine): ἀφρός · παρὰ τὸ φρῶ ῥῆμα γέγονε φρὸς καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀφρός· τὸ μετὰ σφοδρᾶς φορᾶς προϊέμενον. τὸ δὲ φρῶ παρὰ τὸ προϊῶ γίνεται προῶ καὶ πρῶ καὶ φρῶ. c. Et. Gud. 247, 22 Stef.: ἀφρός · φρῶ ἐστι ῥῆμα ἀπὸ τοῦ προϊῶ, ἀφ’ οὗ τὸ εἰσφρῶ, ὅπερ ἐγένετο ἀπὸ τοῦ προϊῶ συγκοπέν. παρὰ δὲ τὸ φρῶ τὸ μονοσύλλαβον ὄνομα φρὸς καὶ ἀφρὸς κατ’ ἐπίτασιν τοῦ α, παρὰ τὸ μετὰ φορᾶς προΐεσθαι. a.

57* Or. 4, 3 et 611, 16 Werf. (codd. HI): ἄχος · παρὰ τὸ μὴ διαχεῖσθαι, ἀλλὰ συνέχεσθαι τὴν ψυχὴν ἐν τῇ λύπῃ· ὅθεν τὸ χαίρειν εἴρηται παρὰ τὸ διαχεῖσθαι ὑπὸ τῆς ἡδονῆς καὶ χαρᾶς. b. Et. Gen. AB s. v. ἄχος (unde EM 182, 8. 10): ἄχος · ἡ λύπη. παρὰ τὸ μὴ διαχεῖσθαι, ἀλλὰ συνέχεσθαι τὴν ψυχήν· ὅθεν καὶ τὸ χαίρειν εἴρηται παρὰ τὸ διαχεῖσθαι ὑπὸ τῆς ἡδονῆς. c. Ep. Hom. AO 1, 39, 24 (unde Et. Gud. 252, 8 Stef. = EM 182, 15): ἄχος · παρὰ τὸ χῶ, τὸ χέω, μετὰ τοῦ στερητικοῦ α ἄχος, τὸ μὴ διαχεόμενον. a.

58* Or. 37, 1 in sede Philoxeni: βάζειν · βοῶ 〈τὸ〉 πρωτότυπον· συγκοπῇ βῶ, παράγωγον βάζω, ὡς φῶ φάζω καὶ πλεονασμῷ τοῦ ρ φράζω. τοῦ δὲ βάζω ὁ μέλλων βάξω καὶ ὄνομα βάξις. b. Et. Gen. AB s. v. βάζω (unde EM 184, 54): βάζω · ... γίνεται παρὰ τὸ βοῶ βῶ· καὶ ὥσπερ παρὰ τὸ φῶ φάζω καὶ ὁ μέλλων φάσω καὶ πλεονασμῷ τοῦ κ φάσκω, οὕτως καὶ παρὰ τὸ βῶ βάζω ὁ μέλλων βάξω. ἐκ δὲ τοῦ βάζω γίνεται καὶ βράζω πλεονασμῷ τοῦ ρ. Or.

59* 37, 7 in sede Philoxeni (unde Et. Gen. AB s. v. βάθρον = EM 185, 45): βάθρον · παρὰ τὸ βῶ, τὸ βαίνω, γίνεται παράγωγον βῆμι καὶ κατὰ ἀναδιπλασιασμὸν βίβημι, ἔνθεν τὸ „ἤϊε μακρὰ βιβάσ“ (H 213), βάτρον τι γίνεται ῥηματικὸν ὄνομα· καὶ τροπῇ τοῦ τ εἰς θ δι’ εὐφωνίαν βάθρον, ἐφ’ ᾧ ἐστι βαίνειν. Schol.

60* Dion. Thr., Gramm. Gr. I 3, 112, 10 Hilgard: γίνεται δὲ ἡ λέξις (sc. βάναυσος ) παρὰ τὸ φῶ, τὸ φαίνω, ἐξ οὗ φαύνω, καὶ ἀποβολῇ τοῦ φ αὔνω· ἐκ τούτου αὐνὸς καὶ βαυνός, ὅπερ κοινῶς μὲν ὀξύνεται, Ἀττικῶς δὲ βαρύνεται· σημαίνει δὲ τὴν κάμινον, ὡς παρὰ τῷ Ἐρατοσθένει (fr. 24 Powell)· „μέσον δ’ ἐξαύσατο βαυνόν“, ἤγουν ὑφηῦσε. καὶ ὡς παρὰ τὸ ἵππος Ἵππασος καὶ παρὰ τὸ χόρτος χόρτασος, οὕτως καὶ παρὰ τὸ βαυνὸς βαύνασος καὶ καθ’ ὑπερβιβασμὸν βάναυσος. Et.

61* Gen. AB s. v. βάπτω (ex Orione): βάπτω · παρὰ τὸ βῶ, τὸ βαίνω, γίνεται βάπτω· 〈τρόπον γάρ τινα βαίνει κατὰ τοῦ ὑποκειμένου τὸ δευσοποιὸν χρῶμα〉. Et.

62* Gen. AB s. v. βηλός (ex Orione), unde EM 196, 32; Antistoech. cod. Crypt. Za III fol. 21 V : βηλός · ... γίνεται παρὰ τὸν βήσω μέλλοντα· ᾧ ἐπιβαίνουσιν οἱ εἰσιόντες καὶ ἐξιόντες. a.

63* Or. 35, 21 in sede Philoxeni: βλάπτω · βρῶ ἐστι θέμα ὁμοίως δηλοῦν τὸ ἐσθίω, καὶ μεταθέσει τοῦ ρ εἰς λ 〈 *** 〉 βλάπτω. b. Et. Gen. AB s. v. βλάπτω (unde EM 199, 13): βλάπτω · ἔστι βρῶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δηλοῦν τὸ ἐσθίω. τοῦτο γίνεται βλῶ κατὰ τροπὴν τοῦ ρ εἰς τὸ λ· καὶ κατὰ παραγωγὴν βλάπτω· ἀπὸ μεταφορᾶς τῶν ἐσθιομένων καὶ μηκέτι ὑγιῶν ὄντων. Or.

64* 35, 15 in sede Philoxeni: βλωθρή · ὡς παρὰ τὸ λάμπω λαμπρός, 〈οὕτωσ〉 καὶ παρὰ τὸ βλῶ, παράγωγον τὸ βλώθω καὶ ὄνομα ῥηματικὸν βλωθρός, θηλυκὸν βλωθρή, ἡ ἀναδραμοῦσα καὶ ηὐξημένη· ἀπὸ τοῦ μολεῖν εἰς ὕψος. Or.

65* 35, 19 in sede Philoxeni (unde Et. Gen. AB s. v. βλωμός = EM 201, 16): βλωμός · παρὰ τὸ βρῶ, τὸ ἐσθίω, βρωμός, καὶ μεταθέσει τοῦ ρ εἰς λ βλωμός, ὡς καὶ παρὰ τὸ βῶ βωμός. Ἡσίοδος (Op. 442)· „τετράτρυφον ὀκτάβλωμον“. a.

66* Or. 37, 14 in sede Philoxeni (unde Et. Gen. AB s. v. βορά = EM 205, 5): βορά · παρὰ τὸ βῶ, τὸ τρέφω, οὗ ὁ μέλλων βόσω, ἀφ’ οὗ βορὸς καὶ βορὰ καὶ βοτήρ. b. Et. Gud. 278, 15 Stef.: βορά · ἡ βρῶσις. παρὰ τὸ βῶ, τὸ τρέφω, ὁ μέλλων βόσω βορὸς καὶ βορά· καὶ βότης καὶ συβώτης ἐπεκτάσει τοῦ ο εἰς ω· ἀπὸ δὲ τοῦ αὐτοῦ καὶ βούτης πλεονασμῷ τοῦ υ. Et.

67* Gen. AB s. v. Βορέας (ex Orione), unde EM 205, 11: Βορέας · ... ἢ παρὰ τὸ βῶ, τὸ τρέφω· ὁ τρέφων καὶ αὐξάνων τοὺς καρπούς. Et.

68* Gen. AB s. v. βόσκω (unde EM 205, 28): βόσκω · παρὰ τὸ βῶ, τὸ τρέφω, ὁ μέλλων βόσω καὶ πλεονασμῷ τοῦ κ βόσκω, ὡς τρώσω τιτρώσκω, θνήσω θνήσκω· ἐξ οὗ καὶ βόσις, ἡ τροφή, καὶ συβώτης. Et.

69* Gen. AB s. v. βοτήρ (unde EM 205, 53): βοτήρ · ... εἴρηται παρὰ τὸ βῶ, τὸ τρέφω, ὁ μέλλων βόσω, βοτήρ· καὶ ἀπὸ τοῦ βοτὴρ βότειρα, ὡς σωτὴρ σώτειρα καὶ Δημήτηρ Δημήτειρα, καὶ βότης, ὅπερ καὶ βούτης λέγεται κατὰ πλεονασμὸν τοῦ υ, τὸ αὐτὸ δηλοῦν· ἐξ οὗ καὶ βόσις, ἡ τροφή, καὶ συβώσιον κατ’ ἔκτασιν τοῦ ο εἰς ω. a.

70* Et. Gud. 276, 14 et 283, 27 Stef.: βοῦς · παρὰ τὸ βῶ δηλοῦν τὸ τρέφω, οὗ ὁ μέλλων βόσω καὶ βόσις, ἡ τροφή, ὡς ἀρόσω ἄροσις· ἀφ’ οὗ βοτήρ, ὡς ἀροτήρ· βοῦς οὖν τὸ ζῷον ἀπὸ τοῦ τρέφεσθαι ἡμᾶς ἐξ αὐτοῦ. b. Et. Gen. AB s. v. βοῦς (unde EM 203, 38): βοῦς · ... παρὰ τὸ βῶ, τὸ τρέφω· τὸ τρέφον ἡμᾶς ἐκ τῆς περὶ τὴν γῆν ἐργασίας. Et.

71* Gen. AB s. v. βράζει (fort. ex Orione), unde EM 211, 26: βράζει · παρὰ τὸ βῶ, τὸ λέγω, γίνεται βάζω καὶ πλεονασμῷ τοῦ ρ βράζω. a.

72* Or. 37, 12 in sede Philoxeni: βρῶμα · ἀπὸ τοῦ βρῶ, ὁ μέλλων βρώσω, βρῶμα καὶ βρωτὸς καὶ ἄβρωτος· ἡ βρῶσις. b. Et. Gen. AB s. v. βρῶμα (unde EM 216, 2. 5 mutato ordine): βρῶμα · παρὰ τὸν βρώσω μέλλοντα γίνεται βρῶμα καὶ βρῶσις καὶ βρώμη, ὡς κωλύσω κωλύμη καὶ φιλήσω φιλήμη. σημαίνει δὲ τὴν βρῶσιν, οἷον „μνησόμεθα βρώμησ“ (κ 177). Or.

73* 35, 23 in sede Philoxeni: βρώμη · παρὰ τὸν βρώσω μέλλοντα. Et.

74* Gen. A S. v. βρῶσις (unde EM 216, 1): βρῶσις · ἡ τροφή. παρὰ τὸν βρώσω μέλλοντα γίνεται βρῶσις, ὡς λέξω λέξις. a.

75* Or. 35, 13 in sede Philoxeni (unde Et. Gud. 292, 23 Stef.): βῶλος · παρὰ τὸ βῶ, τὸ τρέφω· αἱ γὰρ βῶλοι τῶν καρπῶν τὰς ἀναδόσεις ποιοῦνται· ὅθεν Ὅμηρος (Ι 329, al.) „ἐρίβωλον“ καὶ „ἐριβώλακα“ (Γ 74, al.) τὴν γῆν λέγει. καὶ παρωνύμως βῶλος βῶλαξ καὶ ἐριβῶλαξ, ὡς λίθος λίθαξ. b. Et. Gen. AB s. v. βῶλος (unde EM 217, 43): βῶλος · ἡ γῆ. παρὰ τὸ βῶ, τὸ τρέφω, ὅθεν καὶ βότης καὶ συβώτης καὶ βῶστρον, γίνεται βῶλος, καὶ ἐξ αὐτοῦ βῶλαξ, ὡς λίθος λίθαξ. a.

76* Or. 41, 17: γαλαθηνός · παρὰ τὸν θήσω μέλλοντα δηλοῦντα τὸ θρέψω, ὡς τὸ „ἐπηετανὸν γάλα θῆσθαι“ (δ 89), τὸ ἐσθίειν καὶ τὸ τρέφεσθαι. καὶ θοίνη ἡ τροφή. ἔστιν οὖν θήσω θηνός, ὡς δείσω δεινός, κλείσω κλεινός· καὶ σύνθετον γαλαθηνός. b. Et. Gen. AB s. v. γαλαθηνός (unde EM 219, 56, Et. Sym. cod. Vap. Gaisf. EM 629 H mutato ordine): γαλαθηνός · ... ὥσπερ παρὰ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δείσω μέλλοντα γίνεται δεινὸς καὶ κλείσω κλεινός, οὕτως καὶ παρὰ τὸν θήσω μέλλοντα τὸν δηλοῦντα τὸ θρέψω, οἷον „ἐπηετανὸν γάλα θῆσθαι“ (δ 89), τουτέστιν τρέφεσθαι, γίνεται θηνός· καὶ ἐν συνθέσει μετὰ τοῦ γάλα γίνεται γαλαθηνός, ὁ ὑπὸ γάλακτος τρεφόμενος. a.

77 Et. Gud. 298, 17 Stef.: γαστήρ · ἡ πάντα τὸν βίον λαμβάνουσα καὶ μὴ πληρουμένη. οὕτω Φιλόξενος. b. Et. Gen. AB s. v. γαστήρ (unde EM 221, 55): γαστήρ · παρὰ τὸ γῶ, τὸ λαμβάνω καὶ δέχομαι, γίνεται γαστήρ. ἡ πάντα τὸν βίον μὴ πληρουμένη λαμβάνουσα. a.

78* Or. 42, 9 (unde Et. Gud. 298, 18 Stef.): γάστρα · ἡ εἰς κύτος γενηθεῖσα καὶ εἰς τὸ λαμβάνειν τι. b. Et. Gen. AB s. v. γάστρα (unde EM 221, 57): γάστρα · παρὰ τὸ γαστὴρ γίνεται γάστρα· ἡ εἰς κύτος γενηθεῖσα τοῦ λαμβάνειν· „γάστρην μὲν τρίποδοσ“ (Σ 348). a.

79* Or. 44, 1 in sede Philoxeni (unde Et. Gud. 299, 22 Stef.): ΓΑΥΛΟΣ · παρὰ τὸ γῶ γάζω γαλὸς καὶ πλεονασμῷ τοῦ υ ΓΑΥΛΟΣ· ἀγγεῖον γάλακτος δεκτικόν. καὶ οὐ πάντως δεῖ παρὰ τὸ γάλα αὐτὸ λαμβάνειν. σημαίνει δὲ καὶ εἶδος πλοίου. b. Et. Gen. AB s. v. γαῦλος (unde EM 222, 25): ΓΑΥΛΟΣ · ... παρὰ τὸ γῶ, τὸ χωρῶ, γίνεται γάζω γάλος καὶ ΓΑΥΛΟΣ. καὶ οὐ πάντως δεῖ παρὰ τὸ γάλα λαμβάνειν τοῦτο 〈τὸ〉 ΓΑΥΛΟΣ· λέγεται γὰρ καὶ τριήρης γαῦλος διὰ τὸ πλεῖστα δέχεσθαι, ὥς φησιν Ἡρόδοτος ἐν τῇ τρίτῃ τῶν Ἱστοριῶν (136, 1). ἔστι δὲ εἶδος πλοίου λῃστρικοῦ, ἥτις καὶ Λίβυρνος καλεῖται. Et.

80* Gen. AB s. v. γῆ (ex Orione, vide Reitz., Gesch. p. 346), unde EM 229, 51: γῆ · παρὰ τὸ γῶ, τὸ χωρῶ· ἡ πάντα χωροῦσα. τοῦτο δὲ παρὰ τὸ χῶ, ἀφ’ οὗ παράγωγον χείω, οἷον „οὐδὸς δ’ ἀμφοτέρους ὅδε χείσεται“ (ς 17). καὶ τροπῇ τοῦ χ εἰς γ γῶ. a.

81* Or. 44, 7 in sede Philoxeni (unde Et. Gud. 324, 5 Stef.): γρώνη · παρὰ τὸ γῶ γώνη, καὶ προσθέσει τοῦ ρ γρώνη· ἡ δεχομένη τὰ σχοινία πέτρα. b. Et. Gen. AB s. v. γρώνη (unde EM 241, 52; Et. Gud. 324, 16 Stef.): γρώνη · ... παρὰ τὸ γῶ, τὸ χωρῶ, γώνη καὶ προσθέσει τοῦ ρ γρώνη· ἡ ἐν τῇ τρήσει δεχομένη τὰ σχοινία πέτρα. Et.

82* Gen. AB s. v. γυῖα (unde EM 242, 35): γυῖα · ... γίνεται δὲ παρὰ τὸ γῶ, τὸ χωρῶ καὶ λαμβάνω, γύω καὶ γύον, ὡς πτῶ πτύον καὶ θῶ θύον, οἷον „κέδρου τ’ εὐκεάτοιο θύου τ’ ἀνὰ νῆσον ὀδώδει“ (ε 60)· καὶ πλεονασμῷ τοῦ ι γυῖον, ἵν’ ᾖ γυῖον τὸ λαμβάνον καὶ δεχόμενον. Or.

83* 49, 14: δάκνω · παρὰ τὸ καίνω, ἐν συγκοπῇ κνῶ καὶ ἐν συνθέσει δάκνω· τὸ σφόδρα καίνω. δύναται καὶ παρὰ τὸ κνῶ. Or.

84* 613, 39 Werf. (codd. HI): διαβήτης · ἐκ τοῦ βῶ βήσω βήτης καὶ διαβήτης. a.

85* Or. 49, 24 (unde Et. Gud. 360, 13 Stef.): διαρρήδην · ἀπὸ τοῦ ῥῶ δηλοῦντος τὸ λέγω, οὗ ὁ μέλλων ῥήσω, ἔνθεν ῥῆσις καὶ ῥήτωρ καὶ ἐπίρρημα ῥήδην {ἀπὸ τοῦ ῥήσω} καὶ σύνθετον διαρρήδην καὶ ἐπιρρήδην. b. Et. Gen. AB s. v. διαρρήδην (ex Orione), unde EM 269, 47: διαρρήδην · ... παρὰ τὸ ῥῶ, τὸ λέγω, ὁ μέλλων ῥήσω ῥήδην καὶ ἐν συνθέσει διαρρήδην καὶ ἐπιρρήδην. Et.

86* Gen. AB s. v. διαττᾶν (ex Orione), unde EM 271, 36: διαττᾶν · διασήθειν. ἀπὸ τοῦ σῶ ῥήματος, ἔνθεν τὸ σήθω, ὡς κνῶ κνήθω καὶ νῶ νήθω. διασσᾶν οὖν ἦν καὶ διαττᾶν Ἀττικῶς. Et.

87* Gen. AB s. v. διαφρῶ (unde EM 271, 43): διαφρῶ · ... εἴρηται παρὰ τὸ ὦ τὸ σημαῖνον τὸ ἀφίημι, ὅπερ καὶ ἀφῶ λέγομεν καὶ προῶ. εἶτα κατὰ συγκοπὴν πρῶ 〈καὶ τροπῇ〉 φρῶ καὶ κατὰ δευτέραν σύνθεσιν διαφρῶ καὶ εἰσφρῶ. Ἀριστοφάνης (Av. 193)· „τῶν μηρίων τὴν κνῖσαν οὐ διαφρήσετε“. γέγονε δὲ ἡ τροπὴ τῆς πρό ὡς ἐν τῷ προοίμιον φροίμιον, προουρὸς φρουρός. Or.

88* 62, 7 in sede Philoxeni (vide Reitz., Gesch. p. 345): ἐγγύη · παρὰ τὸ γῶ, τὸ δέχομαι, ἔνθεν γωρυτός. τοῦ γῶ παράγωγον τὸ γύω, ἀφ’ οὗ ἐγγυᾶσθαι εἴρηται τὸ εἰς ἑαυτὸν περιάγειν καὶ λαμβάνειν ἢ σῶμα ἢ πρᾶγμα ἀπιστούμενον. Hellad.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

89* Chrest. ad. Phot. Bibl. 531 b 34: τεχνολογοῦσι δὲ τὸ ἐλαύνω οἱ μὲν ἀπὸ τοῦ ἐλῶ ἐλαύνω· τινὲς δὲ ὥσπερ ἀπὸ τοῦ βῶ βαίνω, οὕτω φασὶ καὶ ἀπὸ τοῦ ἐλῶ γέγονεν ἐλαίνω καὶ μεταθέσει τοῦ διχρόνου ἐλαύνω. πλὴν μονῆρές ἐστι τὸ ἐλαύνω κτλ. a.

90* Or. 59, 5 in sede Philoxeni, EM 347, 48: ἐξέτρω · παρὰ τὸ τρῶ ῥῆμα τὸ δηλοῦν τὸ κόπτω, ἔνθεν τὸ τρῶσαι, τὸ σιδήρῳ τέμνειν. δηλοῖ δὲ καὶ τὸ βλάπτω. τὸ δὲ παράγωγον αὐτοῦ τρώω. Ὅμηρος (φ 293)· „οἶνός σε τρώει μελιηδής“. παρὰ δὲ τὸ τρῶ παράγωγον τρῶμι καὶ παρῳχημένος χρόνος ἔτρων ἔτρως ἔτρω καὶ ἐξέτρω, οἷον ἐβλάβη καὶ ἐξεκόπη ἡ κύησις. b. Et. Gen. A II B s. v. ἐξέτρω{ν}· ἐξεβλάβη, ἐξεκόπη ἡ κύησις. παρὰ τὸ τρῶ ῥῆμα τὸ σημαῖνον τὸ κόπτω γίνεται παράγωγον τρῶμι, ὁ παρατατικὸς ἔτρων ἔτρως ἔτρω καὶ ἐν συνθέσει ἐξέτρω{ν}. Et. [5]

91* Gen. A I B s. v. ἐπιρρήδην (ex Ep. Hom.), unde EM 363, 42: ἐπιρρήδην · παρὰ τὸ ῥῶ, τὸ λέγω, ἀφ’ οὗ ῥητὸν καὶ ἄρρητον, γέγονε ῥήδην καὶ ἐπιρρήδην, ὥσπερ παρὰ τὸ τμῶ τμήδην. Or.

92* 59, 24 in sede Philoxeni: ἐπίσωτρον · παρὰ τὸ σῶ, τὸ ὁρμῶ, οὗ μέλλων σώσω, ὄνομα ῥηματικὸν σῶτρον καὶ σύνθετον ἐπίσωτρον. Et.

93* Gen. A I A II B s. v. ἐρρέθην (unde EM 377, 16): ἐρρέθην · ἀπὸ τοῦ ῥῶ ῥήσω ἔρρηκα ἔρρημαι ἐρρέθην. Et.

94* Gen. B s. v. ἔσευα (gl. om. A): ἔσευα · ἀπὸ τοῦ σῶ, τὸ ὁρμῶ, σεύω ἔσευα. Or.

95 59, 15: εὐθημοσύνη · παρὰ τὸν θήσω μέλλοντα θῆμος παράγωγον καὶ θημόσυνος καὶ εὐθημοσύνη, ὡς ἵππος ἱπποσύνη καὶ δίκαιος δικαιοσύνη. θήσω θῆμος θημοσύνη 〈 *** 〉. Φιλόξενος. Or.

96* 67, 23 (unde Et. Gen. AB s. v. ἠβαιόν): ἠβαιόν · ... οἱ δὲ παρὰ τὸ βῶ, τὸ βαίνω· τὸ κατ’ ὀλίγον οὕτως βαῖνον. ἐὰν μὲν οὖν παρὰ τὸ βῶ, βαιὸς καὶ ἠβαιὸς πλεονασμῷ τοῦ η. Et.

97* Gen. AB s. v. θᾶκος (unde EM 441, 11): θᾶκος · ὁ καὶ θῶκος καλούμενος, ἡ καθέδρα. παρὰ τὸ θῶ τὸ σημαῖνον τὸ τιθῶ γέγονε θᾶκος καὶ θῶκος. Or.

98* 73, 14 in sede Philoxeni (unde Et. Gen. AB s. v. θάλλω = EM 441, 43, Et. Sym. cod. V ap. Gaisf. EM 1261 C): θάλλω · τὸ αὔξω. παρὰ τὸ θῶ, τὸ τρέφω, ἀφ’ οὗ παράγωγον θάλλω· καὶ γὰρ τὸ τρεφόμενον αὔξει. a.

99* Or. 71, 20 (unde Et. Gud. 255, 9 St.): θάπτω · παρὰ τὸ θῶ ῥῆμα, τὸ τιθῶ. ὡς βῶ βάπτω, οὕτω καὶ θῶ θάπτω. b. Et. Gen. AB s. v. θάπτειν (unde EM 442, 56; Et. Gud. 255, 7 St.): θάπτειν · ὡς παρὰ τὸ βῶ γίνεται βάπτω, οὕτως καὶ παρὰ τὸ θῶ, τὸ τιθῶ, γίνεται θάπτω· ἀΐδιον γὰρ ἔχουσι τὴν ἀπόθεσιν οἱ θαπτόμενοι. a. [5]

100* Et. Gen. AB s. v. θηλαμών (unde EM 450, 26): θηλαμών · ἡ τροφός. παρὰ τὸν θήσω μέλλοντα τὸν δηλοῦντα τὸ θηλάσω. b. Cyrilli Lex. codd. bmN, Antistoech. cod. Crypt. Za III fol. 30 r , Et. Gud. 261, 34 St.: θηλαμών · ἡ τροφός. παρὰ τὸ θῶ, ὃ δηλοῖ τὸ τρέφω, οὗ ὁ μέλλων θήσω. a. [5]

101* Or. 73, 10 in sede Philoxeni (unde Et. Gud. 262, 6 St.): θηλή · παρὰ τὸν θήσω μέλλοντα, ὃς δηλοῖ τὸ θηλάσω, ἐξ οὗ καὶ θηλή. b. Et. Gen. AB s. v. θηλή (cf. EM 450, 29. 30): θηλή · ὁ μασθός. παρὰ τὸν θήσω μέλλοντα τὸν δηλοῦντα τὸ θηλάσω· „γυναῖκά τε θήσατο μαζόν“ (Ω 58), ἀντὶ τοῦ ἐθήλασεν. a. [5]

102 Et. Gud. 261, 27 St. et cod. z p. 225: θῆλυς καὶ θήλεια · ἔστι ῥῆμα θῶ καὶ δηλοῖ τὸ τρέφω, ὁ μέλλων θήσω, παρ’ ὃ θηλὴ ὄνομα ῥηματικόν, καὶ τροπῇ τοῦ η εἰς υ θῆλυς, οὗ γένος θηλυκὸν θήλεια. οὕτω Φιλόξενος. θηλὴ καὶ θῆλυς, ὡς κάρη κάρυς καὶ κόρυς. εἴρηται δὲ καὶ κάρη, φησὶν ὁ Καλλίμαχος (fr. 110, 40 Pf.). b. Et. Gen. AB s. v. θῆλυς (ex Orione), unde Et. Sym. cod. V ap. Gaisf. EM 1287 D, cf. EM 450, 30: θῆλυς · παρὰ τὸ θῶ, τὸ τρέφω, ἀφ’ οὗ ῥηματικὸν ὄνομα θηλή,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τροπῇ τοῦ η εἰς υ θῆλυς, ὡς κάρη κάρυς καὶ κόρυς· εἴρηται γὰρ καὶ κάρη θηλυκόν, ὡς παρὰ Καλλιμάχῳ (fr. 110, 40 Pf.)· „σήν τε κάρην ὤμοσα σόν τε βίον“. Or.

103* 73, 15 in sede Philoxeni (unde Et. Gen. AB s. v. θημών = EM 451, 7): θημών · παρὰ τὸν θήσω μέλλοντα. Or.

104* 73, 3 in sede Philoxeni (unde Et. Gen. AB s. v. θίς; Et. Gud. 263, 7 St. = EM 452, 19): θίς · ὁ σωρός. παρὰ τὸ θῶ, τὸ τιθῶ, θίς· ἐφ’ οὗ συνέβη θεῖναι. Or.

105* 73, 6 in sede Philoxeni (unde Et. Gen. AB s. v. θοίνη = Et. Sym. cod. V ap. Gaisf. EM 1297 A): θοίνη · ἡ εὐωχία. παρὰ τὸ θῶ ῥῆμα, ὅ ἐστι τρίτης συζυγίας τῶν περισπωμένων, τὸ τρέφω, ὁ μέλλων θώσω, ῥηματικὸν ὄνομα θώνη καὶ τροπῇ τοῦ ω εἰς τὴν οι δίφθογγον θοίνη, ὡς τὸ ἀγκὼν ἀγκώνη καὶ ἀγκοίνη. εἴρω, τὸ πλέκω, είρμός 〈 *** 〉 . a.

106* Or. 73, 4 in sede Philoxeni: θώραξ · 〈παρὰ τὸ θῶ〉 , ὃ δηλοῖ τὸ εὐωχοῦμαι, ἤτοι ἐν εὐωχίᾳ εἰμί, ἀφ’ οὗ Δωριεῖς θῶσθαι λέγουσι τὸ εὐωχεῖσθαι. b. Et. Gen. AB s. v. θώραξ (ex Orione), unde EM 460, 30, Et. Sym. cod. V ap. Gaisf. EM 1316 DE: θώραξ · … ἢ παρὰ τὸ θῶ ῥῆμα τὸ δηλοῦν τὸ εὐωχοῦμαι, ἀφ’ οὗ οἱ Δωριεῖς θῶσθαι λέγουσι τὸ εὐωχεῖσθαι, τούτου ὁ μέλλων θώσω, ῥηματικὸν ὄνομα θῶρος, ἀφ’ οὗ θώραξ, ὡς λίθος λίθαξ. θώραξ οὖν ὁ δεκτικὸς τῆς τροφῆς τόπος· ἀφ’ οὗ καὶ τὸ ἐμπίμπλασθαι θωράξασθαι λέγεται, ὡς παρὰ Ἀριστοφάνει (Ach. 1135)· „πρὸς τοὺς συμπότας θωράξομαι“. καὶ Πίνδαρος Διθυράμβων πρώτῳ (fr. 72 Snell)· „ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ’ ἀλλοτρίᾳ“. παρὰ δὲ τὸ θῶ εἴρηται καὶ ἔνθεσις, ἡ τροφή, καὶ „ἐνθοῦ {τὸ} ῥόφησον“ παρ’ Ἀριστοφάνει (Equ. 51) καὶ ἀλλαχοῦ παρὰ τῷ αὐτῷ (Equ. 404)· „εἴθε φαύλως, ὥσπερ ηὗρες, ἐκβάλοις τὴν ἔνθεσιν“, τουτέστι τὴν τροφήν. ἐπὶ δὲ τοῦ ὅπλου ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον ἔξωθεν παρίστησι μετωνυμικῷ τρόπῳ, ὡς καὶ Ὅμηρος (Ε 7)· „δαῖέ οἱ πῦρ ἀπὸ κρατός τε καὶ ὤμων“, ἀπὸ τῶν περιεχομένων τὰ περιέχοντα, 〈ἀντὶ τοῦ〉 ἀπὸ τῆς ἀσπίδος καὶ τῆς περικεφαλαίας. c. Meletius, De nat. hom., AO 3, 89, 26: θώραξ οὖν ὁ δεκτικὸς τῆς τροφῆς τόπος· τὸ γὰρ οἴνου ἐμπίμπλασθαι θωράξασθαι λέγομεν· καὶ Ἱπποκράτης (Aph. 2, 21) „λιμὸν θώρηξις λύει“ τὴν πολυποσίαν λέγων. ὡς καὶ ἀλλαχοῦ Πίνδαρος Διθυράμβῳ (fr. 72 Snell)· „ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ’ ἀλλοτρίᾳ“. θώραξ δὲ τὸ ὅπλον ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον παρίστησι ἔξωθεν μετωνυμικῷ τρόπῳ, ὡς καὶ Ὅμηρος (Ε 7)· „πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων“, ἀπὸ τῶν περιεχομένων τὰ περιέχοντα, ἀντὶ τοῦ ἀπὸ τῆς ἀσπίδος καὶ τῆς περικεφαλαίας. a.

107* Et. Gen. AB s. v. κατηφής (fort. ex Orione), unde EM 496, 54: κατηφής · ὁ ὑπὸ αἰσχύνης κάτω νεύων τοὺς ὀφθαλμούς, ἤγουν ὁ αἰσχυνόμενος. παρὰ τὸ φῶ, τὸ φαίνω, γέγονε παράγωγον φάω καὶ φαής· καὶ ἐν συνθέσει μετὰ τῆς κατὰ προθέσεως γέγονε καταφαής, καὶ ἐν συγκοπῇ κατηφής, ὁ ἔχων κάτω τὰ φάη, ἤγουν τοὺς ὀφθαλμούς, ἐξ οὗ καὶ τὸ θηλυκὸν κατήφεια. b. Antistoech. cod. Crypt. Za III fol. 32 v , Et. Gud. cod. d fol. 95 r : κατηφής · … παρὰ γὰρ τὸ φῶ, οὗ παράγωγον φάω καὶ μετὰ τῆς κατὰ προθέσεως καταφαὴς καὶ κατηφής. παρὰ τὸ κάτω ἔχειν τὰ φάη δι’ αἰσχύνην ἢ ὀνειδισμόν. a.

108* Apoll. Soph. 96, 26: κατηφόνες · κατηφείας ἄξια πράττοντες. παρὰ τὸ φῶ, οὗ παράγωγον φάω. b. Schol. T ad Ω 253: κατηφόνες · παρὰ τὸ φῶ, οὗ παράγωγον φάω· ὁ κάτω ἔχων τὰ φάη δι’ αἰσχύνην ἢ δι’ ὀνειδισμόν. Et.

109* Gen. AB s. v. κμέλεθρα (ex Herodiano, vide 2, 396, 11 L.), unde EM 521, 28: δεῖ γινώσκειν, ὅτι τὸ κ πρὸ τοῦ μ οὐδέποτε εὑρίσκεται ἐν ἀρχῇ λέξεως· τοῦ γὰρ πολύκμητος οὐχ εὕρηται ἐν χρήσει τὸ ἁπλοῦν αὐτοῦ, ἤγουν τὸ κμητός. καὶ πάλιν τὸ κέκμηκα οὐκ ἔστιν ἀπὸ τοῦ κμῶ , ἀλλ’ ἀπὸ τοῦ καμῶ καμήσω κεκάμηκα καὶ κατὰ συγκοπὴν κέκμηκα. σημαίνει δὲ τὸ κεκοπίακα. a.

110*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Or. 85, 4 in sede Philoxeni: κελαρύζω · κερύζω κελαρύζω. b. Et. Gen. AB s. v. κελαρύζειν (unde EM 501, 41, cf. Et. Sym. cod. V ap. Gaisf. EM 1434 A): κελαρύζειν · ... γίνεται παρὰ τὸ κρῶ ῥῆμα τὸ δηλοῦν τὸ φωνῶ, οὗ παράγωγον κρύζω καὶ μετὰ τοῦ λα ἐπιτατικοῦ μορίου καὶ πλεονασμῷ τοῦ ε λακερύζω, ἀφ' οὗ ῥηματικὸν ὄνομα „λακέρυζα κορώνη" (Hes. Op. 747)· ἐκ τούτου γίνεται καθ' ὑπερβιβασμὸν κελαρύζω. Et.

111* Gen. AB s. v. κενός (unde EM 503, 18): κενός · ... ἢ παρὰ τὸ γῶ, τὸ χωρῶ, γενὸς καὶ κενός, ὁ χωρῆσαι δυνάμενός τι διὰ τὸ μηδὲν ἔχειν. Or.

112* 84, 24 in sede Philoxeni (unde Et. Gen. AB s. v. κῆλον = EM 510, 26, Et. Sym. cod. V ap. Gaisf. EM 1458 D): κῆλον · παρὰ τὸν κήσω μέλλοντα τὸν δηλοῦντα τὸ καύσω, ὅθεν καὶ τὸ „πυρὶ κηλέῳ" (Θ 217), τουτέστιν καυστικῷ, γέγονε πλεονασμῷ τοῦ ε. παρὰ δὲ τὸν αὐτὸν κήσω μέλλοντα, ἀφ' οὗ κῆλον, καὶ τὸ „αὖα πάλαι, περίκηλα, τά οἱ πλώοιεν ἐλαφρῶσ" (ε 240), τὰ περικεκαυμένα ὑπὸ τοῦ ἡλίου καὶ ξηρά. Or.

113* 85, 5 in sede Philoxeni: κλαγγή · κρῶ, παράγωγον κράζω, ῥηματικὸν ὄνομα κραγὴ καὶ πλεονασμῷ τοῦ υ κραυγή· μετάθεσις τοῦ ρ εἰς λ κλαγὴ καὶ πλεονασμῷ τοῦ γ κλαγγή. a.

114* Or. 86, 17 in sede Philoxeni: κλαίω · παρὰ τὸ κλῶ, οὗ παράγωγον κλαίω· κλᾶται γὰρ ἡ τῶν ἀνθρώπων φωνὴ ἐν τῷ τοῦτο πάσχειν. ἢ καὶ ἡ ψυχή ἐστιν ἡ τὸ κλᾶσθαι παρέχουσα. b. Et. Gen. AB s. v. κλαίω · κλῶ, τὸ κλάνω, γίνεται κατὰ παραγωγὴν κλάω καὶ κλαίω· κλᾶται γὰρ ἡ τῶν ἀνθρώπων φωνὴ καὶ ἡ ψυχὴ τοῦτο πάσχουσα. Or.

114a* 84, 22 in sede Philoxeni (unde Et. Gen. AB s. v. κλαίω): κλαίω · παρὰ τὸ καλῶ κλῶ κλαίω· ἐπικαλοῦνται γὰρ τοὺς ἀποθανόντας οἱ κλαίοντες, οἷον „ᾤμωξεν δ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον" (Κ 522). Et.

115* Gen. AB s. v. κλήδην (unde EM 519, 34, Et. Sym. cod. V ap. Gaisf. EM 1482 A): κλήδην · ... ἀπὸ τοῦ καλῶ κλῶ κλήσω κλήδην. Et.

116* Gen. AB s. v. κληδών (unde Et. Sym. cod. V ap. Gaisf. EM 1482 A): κληδών · ... ἢ ἀπὸ τοῦ καλῶ κλῶ κληδών, ἐξ οὗ καὶ κλῆσις. Or.

117* 84, 9 in sede Philoxeni (unde Et. Gen. AB s. v. κλῆρος = Et. Sym. cod. V ap. Gaisf. EM 1481 A): κλῆρος · κλῶ ἐστι ῥῆμα μονοσύλλαβον, ὅπερ γέγονεν ἀπὸ τοῦ καλῶ, οὗ μέλλων κλήσω· ῥηματικὸν ὄνομα κλῆρος· ὁ καλῶν ἐφ' ἑαυτὸν τὸν λαχόντα. Or.

118* 86, 20 in sede Philoxeni: κλίνω · παράγωγόν ἐστι τοῦ κλῶ· ὥσπερ γὰρ κλάσιν λαμβάνει τῆς ὀρθότητος στερισκόμενα τὰ κλινόμενα. κατ' ἔνδειαν τοῦ μ, ὡς καλύπτω καλύψω. Or.

119 85, 10 (unde Cyrilli Lex. codd. BmN, vide Bühler, Beiträge p. 100; de cod. b vide Cramer, AP 4, 185, 4): κλύω · παρὰ τὸ κλῶ, τὸ φωνῶ, πλεονασμῷ τοῦ υ κλύω. οὕτως Φιλόξενος. Et.

120 Gen. AB s. v. κνυζώσω (cf. EM 522, 47. 52 multo brevius): κνυζώσω · ... καί τινες μὲν λέγουσιν ἀπὸ μεταφορᾶς τῶν κυνῶν· κυνὸς γὰρ καὶ κυνῶ καὶ κνυζῶ, ὅπερ ἐστὶν ἀπρεπές. οἱ δὲ παρὰ τὴν κόνυζαν, οἷον „χαμαιζήλοιο κονύζησ" (Nic. Th. 70), γίνεσθαι κονυζῶ, ὡς ῥίζα ῥιζῶ, ὅπερ ἐστὶν ἀπίθανον. ἄμεινον οὖν Φιλοξένῳ συγκατατίθεσθαι , ὅτι ἀπὸ τοῦ κνῶ γίνεται παράγωγον κναίω τὸ σημαῖνον τὸ διαφθείρειν, ὡς Ἀριστοφάνης Ἱππεῦσιν (771)· „ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ". παραιτητέον δὲ τοὺς 〈μετα〉 γράφοντας 〈τὸ〉 κατακνησθείην. 〈καὶ〉 παρὰ Ἀριστοφάνει 〈ἐν〉 Ἀναγύρῳ (fr. 63 K.)· „ἀλλ' Ἀριφράδη δέδοικα μὴ τὰ πράγματα ἡμῶν διακναίσῃ". παρὰ δὲ τὸ κνῶ μονοσύλλαβον γέγονεν 〈καὶ〉 κνημῶ· „ἀλλ' ἔστιν γογγύλιόν τι συγκνημωθέντεσ" (incerti auctoris). παρὰ οὖν τὸ κνῶ κνίζω, ὡς στῶ στίζω, πρῶ πρίζω· ἐξ οὗ καὶ κνῖσα, ἡ τῇ ὀσφρήσει προΐζουσα. ἀπὸ δὲ τοῦ κνίζω γίνεται κνύζω, ἐξ οὗ καὶ τὸ κνύζα ... ἐκ δὲ τοῦ κνύζω γίνεται κνυζῶ περισπώμενον, ἀφ' οὗ „κνυζώσω δέ τοι ὄσσε" (ν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

401). τὸ δὲ κνυζῶ σημαίνει πολλάκις τὸ ξύειν, ὡς παρὰ Σώφρονι ἐν Μίμοις (fr. 53 Kaibel), οἷον „κνυζοῦμαι οὐδὲν ἰσχύων“. καὶ „ὑποδουμένη τὸ κνῦμά σου τῶν δακτύλων“ (Ar. Eccl. 36). οὕτως Ἡρωδιανός (cf. 1, 445, 3 L.). Et.

121* Gen. AB s. v. κοινός (unde EM 523, 37): κοινός · ... ἢ παρὰ τὸ γῶ, τὸ δέχομαι, γίνεται γοινὸς καὶ κοινός, ὁ δεκτικὸς καὶ εὐπρόσδεκτος. a.

122* Ep. Hom. AP 366, 31. AO 1, 220, 22 (ex Orione): κολῳόν (α 575)· εἴρηται κολῳὸς παρὰ τὸ κλῶ ῥῆμα, ὃ σημαίνει τὸ φωνῶ, καὶ γίνεται ῥηματικὸν ὄνομα κλωός, ὡς σῶ σῶος, καὶ πλεονασμῷ τοῦ ο κολῳὸς μετὰ τοῦ ἀνεκφωνήτου ι. ἐκ τούτου ἐγένετο κολῳῶ ῥῆμα δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ β′ κολῳᾶς, ὁ παρατατικὸς ἐκολῴων καὶ τὸ γ′ ἐκολῴα· „Θερσίτης δ’ ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα“ (Β 212). οὕτω Φιλόξενος. b. Or. 85, 11: κολῳός · Ὅμηρος (Α 575). παρὰ τὸ κλῶ ῥηματικὸν ὄνομα κλωός, ὡς σῶ σῶος, καὶ πλεονασμῷ τοῦ ο κολωός, ἀφ’ οὗ γίνεται ῥῆμα κολῳῶ· „Θερσίτης δ’ ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα“ (Β 212). Or.

123* 88, 2 in sede Philoxeni (unde Et. Gen. AB s. v. κόχλος = EM 534, 27): κόχλος · παρὰ τὸ χαλῶ καὶ συγκοπῇ χλῶ, ὄνομα χλὸς καὶ κατὰ ἀναδιπλασιασμὸν χόχλος· καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων κόχλος, τὸ κατ’ εἴλησιν χαλώμενον κάτω. ὅθεν καὶ Θουκυδίδης ἐν τῷ δ′ (26, 2) διὰ τοῦ α λέγει κάχλακας. ὡς παρὰ τὸ ἱερὸς γίνεται ἱέραξ καὶ νέος νέαξ, ὡς παρὰ Καλλιμάχῳ (fr. 220 Pf.)· „καὶ τῶν νεήκων εὐθὺς οἱ τομώτατοι“, καὶ μύρμος μύρμαξ, οἷον „αὐτίκα 〈—〉 μύρμων πλείονες ἢ ψιάδων“ (Call. fr. 753 Pf.), οὕτως κόχλος κόχλαξ. a.

124* Or. 90, 18 (unde Cyrilli Lex. codd. bmN, Et. Gud. cod. z p. 275): κρήνη · κρῶ ἐστι ῥῆμα μονοσύλλαβον παρὰ τὸ κερῶ συγκοπέν, ὃ δηλοῖ τὸ ἐπιχέω. καὶ ὡς παρὰ τὸ εἴρω εἰρήνη, οὕτω κρῶ κρήνη. b. Et. Gud. 345, 53 St. et cod. z p. 275 (unde EM 537, 44): κρήνη · κρῶ ἐστι ῥῆμα μονοσύλλαβον συγκοπὲν ἀπὸ τοῦ κερῶ, ὃ δηλοῖ τὸ ἐπιχέω. καὶ ὡς παρὰ τὸ εἴρω, τὸ λέγω, γίνεται εἰρήνη, οὕτω κρῶ κρήνη. καὶ „νεοκρᾶτας σπονδὰσ“ Αἰσχύλος (fr. 323 N. 2 = 638 M.) τὰς νεωστὶ ἐκχυθείσας. καὶ Ὅμηρος (ε 93)· „κέρασσε δὲ νέκταρ ἐρυθρόν“, ἀντὶ τοῦ ἐπέχεεν· οὐ γὰρ ὕδατι κιρνᾶται τὸ νέκταρ. Et.

125* Gen. AB s. v. κρουνῶν (unde Et. Gud. cod. z p. 277; EM 541, 44): κρουνῶν (Δ 454)· ῥευμάτων. ἔστι ῥῆμα κρῶ μονοσύλλαβον, ὅπερ γίνεται ἀπὸ τοῦ κερῶ κρῶ· ἐκ τούτου γίνεται κρονὸς καὶ κρουνός. Or.

126* 85, 8 in sede Philoxeni (unde Et. Gen. AB s. v. κρούω = EM 541, 38): κρούω · κρῶ ἐστι ῥῆμα, παράγωγον κρύω, πλεονασμῷ τοῦ ο κρούω, ὡς ὄρω ὀρύω καὶ ὀρούω. a.

127* Or. 84, 14 in sede Philoxeni (vide Reitz., Gesch. p. 343, 30 in test.): κρωσσόν · παρὰ τὸ κρῶ, τὸ ἐπιχέω, γενόμενον ἀπὸ τοῦ χέω κερῶ κατὰ συγκοπήν. σημαίνει δὲ ὑδρίαν ἤ τι ἄγγος εἰς τὸ ἐπιχεῖν ὕδωρ. b. Et. Gen. AB s. v. κρωσσός (unde EM 541, 30, cf. Et. Sym. cod. V ap. Gaisf. EM 1543 D): κρωσσός · ὑδρία ἤ τι ἄλλο ἄγγος εἰς τὸ ἐπιχεῖν ὕδωρ. παρὰ τὸ κρῶ, τὸ ἐπιχέω· τοῦτο δὲ γέγονε παρὰ τὸ κερῶ κατὰ συγκοπὴν κρῶ, οἷον „κέρασσε δὲ νέκταρ“ (ε 93), ἀντὶ τοῦ ἐπέχεεν· οὐ γὰρ ὕδατι κιρνᾶται τὸ νέκταρ. καὶ παρ’ Αἰσχύλῳ (fr. 323 V. 2 = 638 M.) „νεοκρᾶτες σπονδαὶ“ λέγονται, τουτέστιν αἱ νεωστὶ ἐκχυθεῖσαι. Et.

128* Gen. AB s. v. κύκλα (ex Orione, de cod. B vide Miller, Mélang. p. 198), unde EM 544, 16: κύκλα · ... ἔστι ῥῆμα κλῶ, ἐξ οὗ μονοσύλλαβον ὄνομα κλός· καὶ ἐπειδὴ οὐδὲν εἰς ος ὄνομα λήγει μονοσύλλαβον, διπλασιασμὸν ἀναδεξάμενον ἐγένετο κύκλος, ὡς παρὰ τὸ θῶ, τὸ θηλάζω, ἐγένετο θός, καὶ ἐπειδὴ οὐκ ἠδύνατο διπλασιασθῆναι ἐγένετο τιτθός. Et.

129* Gen. AB s. v. κῴδιον στῴδιον λαγῴδιον (de cod. B vide Miller, Mélang. p. 200), unde EM 550, 12: κῴδιον · ... τὸ δὲ κῴδιον (σημαίνει δὲ τὸ τῶν προβάτων δέρμα) παρὰ τὸ ἐπ’ αὐτῷ κοιμᾶσθαι. παρὰ τὸ κῶ τὸ σημαῖνον τὸ κοιμῶμαι, ἀφ’ οὗ καὶ κείω καὶ κῶμα, ὁ ὕπνος, ὡς Ἡσίοδος (Th.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

798)· „κακὸν δ’ ἐπὶ κῶμα καλύπτει“ καὶ κῶς ῥηματικὸν ὄνομα· Νικοχάρης Λημνίαις (fr. 12 K.), οἷον „ἐπλέομεν, ὦ κόρη, ἐπὶ κῶσ“. τοῦτο δὲ τὸ κῶς γίνεται καὶ κῶας κατὰ πλεονασμόν, ὥσπερ ὧς ὠτὸς ὧας· οἱ γὰρ Ἀττικοὶ οὖς φασιν, οἱ δὲ ποιηταὶ ὧας. καὶ ἐπειδὴ τοῦ κῶας κώατος ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ φωνήεντος ἄρχεται, γίνεται διὰ τοῦ ιδιον ἡ παραγωγὴ κωατίδιον καὶ συγκοπῇ τοῦ α καὶ τ κωΐδιον καὶ συναιρέσει κῴδιον. Et.

130* Gen. AB s. v. κῶμα · ὁ ὕπνος. παρὰ τὸ κῶ, τὸ κοιμῶμαι, γίνεται κῶμα, ἐξ οὗ καὶ κείω. a.

131* Et. Gen. AB s. v. κωμάζειν · τὸ ποιῶς ὀρχεῖσθαι, ἐξ οὗ καὶ κῶμος εἶδος ὀρχήσεως· οἱ δὲ μέλους. παρὰ τὸ κῶ, τὸ κοιμῶμαι· ἐμφαίνει γὰρ τὸν ἀπὸ τοῦ δείπνου καὶ τῆς μέθης ἐπὶ τὸ κοιμηθῆναι βαδίζειν καιρὸν καὶ τὸ κωμάζειν. b. Et. Gud. cod. z p. 283—84 (unde EM 550, 51): κωμάζειν · κυρίως τὸ ἐπὶ τὸ κοιμᾶσθαι βαδίζειν. ἔστιν οὖν κῶμος ὁ καιρὸς ὁ ἀπὸ τῶν δείπνων πρὸς ὕπνον καλῶν. ἐκ τοῦ κῶμος γίνεται κωμάζω, τὸ ἐπὶ τὸ κοιμᾶσθαι βαδίζω. τὸ δὲ κῶμος παρὰ τὸ κῶ, τὸ κοιμῶμαι. a.

132 Steph. Byz. 400, 22 M.: κώμη · ἐν ταῖς μακραῖς ὁδοῖς μέσα χωρία ἔκτισαν πρὸς τὸ κοιμᾶσθαι νυκτὸς ἐπιγενομένης, ὅθεν καὶ ἐπικέκληνται, ὡς Φιλόξενος ... καὶ ὁ δῆμος κώμη εἴρηται ἀπὸ τοῦ ἐν αὐταῖς κοιμᾶσθαί τε καὶ αὐλίζεσθαι. b. Et. Gen. AB s. v. κώμη (unde Et. Sym. cod. V ap. Gaisf. EM 1568 G; Et. Gud. cod. z p. 284, cf. EM 550, 55): κώμη · παρὰ τὸ κῶ, τὸ κοιμῶμαι, ὁ μέλλων κώσω καὶ ἐξ αὐτοῦ κώμη. ὡς ἂν εἴποι τις κοιμητηρία καὶ ἀνάπαυσις ζῴων τε καὶ ἀνθρώπων ἀπὸ τῶν ἀγρῶν. c. Or. 85, 1: κώμη · παρὰ τὸ κῶ ῥῆμα, οὗ μέλλων κώσω· δηλοῖ δὲ τὸ κοιμᾶσθαι. Et.

133* Gen. λ 6 Adler—Alpers (fort. ex Orione), unde EM 554, 17: λάγυνος · ἡ πάνυ δεκτική. παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ γῶ ῥῆμα, τὸ χωρῶ. Et.

134* Sym. cod. V ap. Gaisf. EM 1578 C: λάζετο · ... δύναται δὲ καὶ ἀπὸ τοῦ λῶ, τὸ θέλω, λάζω γενέσθαι, ὡς στῶ στάζω, κρῶ κράζω. Or.

135* 92, 32; EM 555, 27: λακέρυζα κορώνη · Ἡσίοδος (Op. 747)· ἐκ τοῦ κρῶ κρύζω, ὄνομα κρύζα, πλεονασμῷ τοῦ ε κέρυζα καὶ μετὰ τοῦ λα ἐπιτατικοῦ μορίου λακέρυζα. a.

136* Schol. Apoll. Rh. 1, 456a: λαρόν · ... ἢ παρὰ τὸ λῶ, τὸ θέλω, πεποίηται. b. Schol. Apoll. Rh. 1, 659—61a: λαρόν · ἡδύ, ἀπολαυστικόν. παρὰ τὸ λῶ πεποίηται, ὃ σημαίνει τὸ θέλω. c. Et. Gen. λ 36 Adler—Alpers (e schol. Apoll. Rh.), unde EM 557, 7: λαρόν · ... ἢ παρὰ τὸ λῶ, τὸ θέλω. EM 557, 11: λάρυγξ · παρὰ τὸ λαρύσσω λαρύξω, λάρυγξ· τὸ δὲ λαρύσσω παρὰ τὸ λῶ, τὸ ἀπολαύω.

138* a. Choer. Orth., AO 2, 235, 32 (unde Et. Gen. λ 179 Adler—Alpers; Et. Gud. cod. z p. 291): λέων · γέγονε δὲ τοῦτον ⟨τὸν⟩ τρόπον κατὰ τὸν Ὦρον· ἔστι λάω τὸ σημαῖνον τὸ θεωρῶ, ἐξ οὗ καὶ ἀλαός, ὁ τυφλός, οἱονεὶ ὁ ἐστερημένος τοῦ λάειν, ἤγουν τοῦ βλέπειν· ἀπὸ τούτου τοῦ λάω γέγονεν λέων· ὀξυδερκέστατον γὰρ τὸ θηρίον. b. Or. 614, 49 Werf. (codd. HI): λέων · παρὰ τὸ λάειν, ὅ ἐστι βλέπειν· λέγουσι γὰρ τὸν λέοντα μὴ μύειν τὰ ὄμματα κοιμώμενον. Et.

139* Gen. λ 97 Adler—Alpers (ex Orione), unde EM 564, 28, Et. Sym. cod. V ap. Gaisf. EM 1603 B: λιαρόν · ... παρὰ τὸ λῶ, τὸ θέλω, γίνεται λαρόν, ὃ θέλομεν, ὡς νῶ ναρόν, λῶ λαρόν, καὶ πλεονασμῷ τοῦ ι λιαρόν. a.

140* Or. 91, 29: λιλαίομαι · παρὰ τὸ λῶ, ὅ ἐστι θέλω, οὗ παράγωγον λαίω, διπλασιασμῷ λιλαίω. b. Schol. D AbT ad O 317: λιλαιόμενα · ... ἔστι λῶ λαίω λιλαίω, ὡς κερῶ κεραίω· „ζωρότερον δὲ κέραιε“ (ι 203). Or.

141* 94, 21: λίπτω · τὸ ἐπιθυμῶ. λῶ ἐστι τὸ θέλω, οὗ παράγωγον λίπτω, ὡς παρὰ τὸ χρίω χρίπτω καὶ πλεονασμῷ τοῦ μ χρίμπτω. χρῶ, τὸ χροὸς ἅπτεσθαι, {χρῶ} χραύω. Ep.

142*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Hom. (AO 1, 266, 18. AP 3, 342, 13), unde Et. Gen. λ 160 AdlerAlpers, Et. Gud. 376, 10 St. et cod. z p. 298: λώϊον · ... τὸ δὲ λῷον γέγονεν ἀπὸ τοῦ λῶ, τὸ θέλω· ὃ γὰρ νοεῖ τις ἑαυτῷ συμφέρον, τοῦτο καὶ θέλει. Or.

143* 97, 14 (unde Ep. Hom. AO 1, 44, 19): μαιμώωσα (Ε 661)· ... δύναται 〈δὲ〉 καὶ παρὰ τὸ μῶ, διπλασιασμῷ μαιμῶ. μῶ δὲ τὸ ζητῶ. ἀπὸ τοῦ μῶ μῶμαι. ἀπὸ δὲ τοῦ μαιμῶ Ὅμηρος (Ε 670) „μαίμησε δέ οἱ φίλον ἦτορ“. παρὰ δὲ τὸ μῶ καὶ τὸ μαίω, „μαιομένη κευθμῶνασ“ (ν 367), γίνεται. a.

144* Schol. Theocr. 14, 39 b: μάστακα δ’ οἷα τέκνοισι· ... ἢ ζητήσεως ἄξιον· ἐκ τοῦ μῶ, τὸ ζητῶ. b. Schol. AT ad Δ 190: ἐπιμάσσεται· παρὰ τὸ μῶ μαίω μάω, ὡς νῶ ναίω νάω· ἀφ’ οὗ καὶ ὁ μαστὸς καὶ ἡ μάσταξ . Et.

145* Gen. AB s. v. μαστεύω (de cod. B vide Miller, Mélang. p. 211), unde Et. Sym. cod. V ap. Gaisf. EM 1635 A: μαστεύω · ... μῶ, ὁ μέλλων μάσω, μέμακα μαστὸς καὶ μασθός· ὁ ζητητικὸς τοῖς παισί. καὶ μήτηρ, ἡ ζητοῦσα τὰ πρὸς τροφὴν τοῖς παισίν· μήτηρ 〈οὖν〉 ἐκ τοῦ μαστεύω, τὸ ζητῶ. Or.

146* 101, 7 (unde Et. Gud. 381, 38 St. et cod. z p. 302 = EM *574, 184): μαστός · ... ἢ παρὰ τὸ μῶ, τὸ ζητῶ, παράγωγον μάζω καὶ μαστός, ὃν ἐπιζητοῦσιν οἱ παῖδες. δύναται δὲ καὶ παρὰ τὸ αὐτὸ μάζω μᾶζα, ἡ ζητουμένη τροφή, ὡς σχίζω σχίζα. Et.

147* Gen. AB s. v. μέλεον (unde Et. Sym. cod. V ap. Gaisf. EM 1645 BC): μέλεον · ... παρὰ τὸ λῶ, τὸ θέλω, Ἰωνικῶς ἠλεὸς καὶ μήλεος, ὃν μὴ θέλομεν· οὐδεὶς γὰρ θέλει τὸν μάταιον. εἶτα συστολῇ τοῦ η εἰς ε μέλεος. a.

148* Hellad. Chrest. ap. Phot. Bibl. 531 a 2: οἱ δὲ (sc. ἐτυμολογοῦσι τὴν Μοῦσαν) παρὰ τὸ μαάσαι· τὸ γὰρ ζητεῖν Δωριεῖς λέγουσι μῶ καὶ μῶται τὸ τρίτον πρόσωπον παρ’ Ἐπιχάρμῳ (fr 117 Kaibel) καὶ μῶνται παρ’ Εὐφορίωνι (fr. 157 Powell) καὶ μώμεναι ἡ μετοχὴ παρὰ Σοφοκλεῖ. εὐλογώτερον οὖν τὴν Μοῦσαν ἐντεῦθεν εἰρῆσθαι παντὸς νομιζομένην εὑρέτιν μαθήματος. μαίεσθαι δὲ καὶ Ὅμηρος οἶδε τὸ ζητεῖν καὶ μαῖάν φαμεν τὴν ζητοῦσαν ἰατρὸν τὸ κρυπτόμενον. b. EM 589, 40: Μοῦσα · ... ὡς δὲ ἄλλοι μῶσά τίς ἐστι· μῶ γὰρ καὶ μῶμαι, τὸ ζητῶ. Ἐπίχαρμος ὁ κωμικός (fr. 117 Kaibel)· „Πύρραν γε μῶ καὶ Δευκαλίωνα.“ καὶ τὴν τοῦ Ἑρμοῦ, ὅ ἐστι τὴν τοῦ λόγου μητέρα, Μαῖαν λέγει, παρὰ τὴν ζήτησιν καὶ εὕρεσιν τῶν μαθημάτων. καὶ μαίω, τὸ ζητῶ, ὅθεν καὶ μαῖα καὶ Μοῦσα. ἐτυμώτερον δὲ οἱ Δωριεῖς λέγουσι „Μῶς’ ἄγε Μῶσα λίγεια“ (Alcm. fr. 14 a 1). Or.

149* 102, 16 (unde Et. Gud. 401, 22 St. = EM 593 15): μῶμος · παρὰ τὸ μῶ, οὗ ὁ μέλλων μώσω· δηλοῖ δὲ τὸ ζητῶ. μῶμος οὖν ὁ ἀεὶ ἐπιζητῶν καὶ μηδὲν τῶν ἄλλων ἱκανὸν εἶναι νομίζων, ἀλλ’ ἐνδεῖν τοῦ κρείττονος, ἀεὶ πᾶν ὁτιοῦν λέγων καὶ διασύρων. Or.

150 109, 26, EM 598, 17: ναῦς · παρὰ τὸ νέω ὁμοίως, τὸ κολυμβῶ, παράγωγον νεύω, νεύσω ὁ μέλλων, ὡς παρὰ τὸ χέω χεύσω, οὕτω νεύσω νεῦς καὶ ναῦς τροπῇ τοῦ ε εἰς α. οὕτω Φιλόξενος. a.

151* Or. 107, 1 (unde Et. Gud. 405, 40 St. et cod. z p. 323): νέκταρ · ... οἱ δὲ παρὰ τὸ στέρεσθαι τοῦ κτάσθαι καὶ φονεύεσθαι τοὺς πίνοντας, οἷον τοῦ θανεῖν, ἀφ’ οὗ τὸ ἀθάνατον δηλοῦσθαι, τὸ μὴ τοῖς κτεινομένοις διδόμενον. b. Et. Gen. AB s. v. νέκταρ (unde EM 600, 15): νέκταρ · ... τινὲς δὲ ἐπὶ τοῦ θείου πόματος. παρὰ τὸ νε στερητικὸν καὶ τὸ κτῶ γέγονε νέκταρ, οἱονεὶ τὸ στερεῖσθαι ποιοῦν τοῦ κτάσθαι καὶ φονεύεσθαι τοὺς πίνοντας αὐτό, ἀφ’ οὗ δηλοῦσθαι τὸ ἀθάνατον, οἷον τὸ μὴ κτεινομένοις διδόμενον. c. Et. Gud. 405, 36 St. et cod. z p. 322: νέκταρ · παρὰ τὸ κτῶ τὸ σημαῖνον τὸ κτείνω γίνεται κτάρ, καὶ μετὰ τῆς νε στερήσεως νέκταρ, τὸ θεῖον πόμα, ὅπερ τοῖς κτεινομένοις καὶ θνητοῖς οὐ δίδοται. a.

152*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Or. 109, 23 in sede Philoxeni (unde Cyrilli Lex. codd. b N; Antistoech. cod. Crypt. Za III fol. 40 r , Et. Gud. 409, 4 St. cod. z p. 325): νῆσος · παρὰ τὸ νῶ, οὗ μέλλων νήσω, δηλοῦν τὸ νήχομαι· πᾶν γὰρ μέρος ἔχει ἐν τῇ θαλάσσῃ, ὥσπερ ἀεὶ τῶν σωμάτων τὰ νηχόμενα. b. Et. Gen. AB s. v. νῆσος (unde Et. Sym. cod. V ap. Gaisf. EM 1721 B): νῆσος · παρὰ τὸ νῶ, τὸ κολυμβῶ, ὁ μέλλων νήσω, γέγονε νῆσος· πᾶν γὰρ μέρος ἔχει ἐν τῇ θαλάσσῃ, ὥσπερ τὰ ἀεὶ νηχόμενα τῶν σωμάτων. a.

153* Or. 110, 24 (unde Antistoech. cod. Crypt. Za III fol. 40 v , Et. Gud. cod. z p. 325): νῆσσα · παρὰ τὸ νέω, τὸ κολυμβῶ, νέσα καὶ τροπῇ τοῦ ε εἰς η καὶ προσθέσει τοῦ ς νῆσσα. b. Et. Gen. AB s. v. νῆσσα (ex Orione), unde EM 605, 15: νῆσσα · ὡς παρὰ τὸ δόξω δόξα καὶ ἄξω ἄξα καὶ ἄμαξα, οὕτω καὶ παρὰ τὸ νέω, τὸ κολυμβῶ, νῆσα καὶ ἀναδιπλασιασμῷ τοῦ αὐτοῦ συμφώνου νῆσσα. Or.

154 109, 21 (unde Et. Gen. AB s. v. νήχω = EM 605, 40; Cyrilli Lex. codd. B N, de cod. b vide Cramer, AP 4, 186, 23): νήχω · νῶ καὶ νέω· ἔστι δὲ τὸ κολυμβῶ. Ἀριστοφάνης ἐν Ἱππεῦσιν (321)· „ἔνεον ἐν ταῖς ἐμβάσιν“. νέω οὖν, προσθέσει τοῦ χ καὶ μεταθέσει τοῦ ε εἰς η νήχω. οὕτω Φιλόξενος. a.

155* Or. 123, 29: ὁμοκλή · κλῶ ἐστι ῥῆμα δηλοῦν τὸ φωνῶ, ὅπερ γέγονεν ἀπὸ τοῦ καλῶ κατὰ συγκοπὴν κλῶ, καὶ τροπῇ τοῦ λ εἰς ρ κρῶ, ὅθεν κράζω παράγωγον. τὸ δὲ κλῶ, τὸ φωνῶ, παρ’ Ὁμήρῳ 〈 *** 〉 ὁμοκλὴ οὖν ἡ πᾶσι λεγομένη φωνή. b. Et. Gen. AB s. v. ὁμοκλή (unde EM 625, 20): ὁμοκλή · ... ἔστι ῥῆμα κλῶ, τὸ φωνῶ καὶ λέγω· τὸ δὲ κλῶ ἀπὸ τοῦ καλῶ κατὰ συγκοπὴν κλῶ. ἐκ τοῦ οὖν κλῶ καὶ τοῦ ὁμοῦ γέγονεν ὁμοκλῶ καὶ ὁμοκλή, οἱονεὶ ἡ ὁμοῦ πᾶσι λεγομένη φωνή, οἷον „μετὰ δὲ Τρώεσσιν {αὐτὸς} ὁμόκλα“ (Σ 156), ἀντὶ τοῦ πᾶσιν ἐπεφώνει καὶ ἔλεγεν. Et.

156* Gen. AB s. v. οὖθαρ (unde EM 640, 20): οὖθαρ · ... ἀπὸ τοῦ θῶ, τὸ τρέφω ἢ θάλλω, 〈θὰρ, καὶ〉 κατὰ πλεονασμὸν τῆς ου συλλαβῆς γίνεται οὖθαρ. Et.

157* Gen. AB s. v. οὐκ ἔχαδεν (de cod. B vide Miller, Mélang. p. 231), unde Et. Sym. cod. V ap. Gaisf. EM 1810 B: οὐκ ἔχαδεν (Δ 24)· ... ἀπὸ τοῦ χῶ, τὸ χωρῶ, χάζω ἔχαδον. Et.

158 Gen. AB s. v. παρθένος (ex Orione), unde EM 654, 43; Et. Gud. 454, 20 St.: παρθένος · ... ἢ παρὰ τὸν θήσω μέλλοντα τὸν δηλοῦντα τὸ θηλάσω· „γυναῖκά τε θήσατο μαζόν“ (Ω 58), γίνεται ῥηματικὸν ὄνομα θήνη, καὶ μετὰ τῆς παρὰ προθέσεως παραθήνη, καὶ κατὰ συγκοπὴν καὶ τροπῇ παρθένος. ἡ περὶ ταύτην τὴν ἡλικίαν οὖσα καθ’ ἣν ὥραν ἔχει ἐκθρέψαι καὶ ἐκτῆσθαι μαζούς, οὓς ἡ φύσις ἔταξε. τὰς γοῦν μικρὰς παῖδας οὐ προσαγορεύομεν παρθένους, ἀλλὰ τὰς ἤδη ἐπὶ τὸ γυναῖκας εἶναι ἰούσας. οὕτως Φιλόξενος. Et.

159* Gen. AB s. v. πέφαμαι (de cod. B vide Miller, Mélang. p. 242), unde Et. Sym. cod. V ap. Gaisf. EM 1885 BC: πέφαμαι · δύο σημαίνει· ἢ τὸ λέλεγμαι ἢ τὸ πεφόνευμαι. ἔστι ῥῆμα φῶ, ὃ σημαίνει τὸ λέγω καὶ τὸ φονεύω, παράγωγον τῶν εἰς μι φημὶ φήσω πέφηκα πέφαμαι πέφασαι πέφαται. ἢ πέφαται καὶ ἔπειτα πεφάσεται. Et.

160* Gen. AB s. v. πεφήσεαι (de cod. B vide Miller, Mélang. p. 242): πεφήσεαι (Ν 829)· φονευθήσῃ. ἐκ τούτου καὶ ἀρηΐφατος ὁ ἐν πολέμῳ πεφονευμένος καὶ πρόσφατον κρέας τὸ νεοσφαγές. παρὰ τὸ φῶ, τὸ φονεύω. a.

161 Et. Gud. 490, 10 St. et codd. d fol. 127 r , z p. 391: 〈 πολυπάμων 〉 · ὁ δὲ Φιλόξενος πῶ, φησίν, ἐστὶ τὸ κτῶμαι καὶ πάσασθαι, τὸ κτήσασθαι κυρίως θρέμματα, καταχρηστικῶς δὲ πᾶν ὁτιοῦν· „Τρῶες δ’ ὥς τ’ ὄϊες πολυπάμονος ἀνδρόσ“ (Δ 433), ἀντὶ τοῦ πολυθρεμμάτου. καὶ πασάμενος ἀντὶ τοῦ κτησάμενος. καὶ Θεόκριτος (15, 90) „πασάμενος ποτίτασσε. Συρακοσίαις ἐπιτάσσεις“, ἀντὶ τοῦ κτησάμενος. πῶ γὰρ τὸ κτῶμαι καὶ πάσω μέλλων, ὄνομα ῥηματικὸν πάμων καὶ πολυπάμων. b. Et. Gen. AB s. v. πολυπάμων (unde EM 681, 48 turbato ordine): πολυπάμων · πῶ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ κτῶμαι, καὶ πάσασθαι, τὸ κτήσασθαι κυρίως θρέμματα, καταχρηστικῶς δὲ πᾶν ὁτιοῦν, καὶ πολυπάμων, ἀντὶ τοῦ πολυθρεμμάτου. καὶ πασάμενος πολλάκις Ξενοφῶν λέγει ἀντὶ τοῦ κτησάμενος· καὶ Θεόκριτός φησι (15, 90) „πασάμενος ποτίτασσε. Συρακοσίαις ἐπιτάσσεις“, ἀντὶ τοῦ κτησάμενος· πῶ γὰρ τὸ κτῶμαι, ὅθεν πάσω μέλλων, ῥηματικὸν ὄνομα πάμων καὶ πολυπάμων. a.

162 Or. 136, 33: πραπίδες · φρῶ ἐστι ῥῆμα κατὰ συναλιφὴν γενόμενον τοῦ προϊῶ. ἀπὸ δὲ τοῦ προϊῶ πρῶ καὶ φρῶ κατὰ μετάθεσιν τοῦ π εἰς φ, ἔνθεν καὶ φρήν. ἄλλο ἀπ’ αὐτοῦ παράγωγον φραπίς, ὡς λέπω λεπίς. οὐδὲν γὰρ εἰς ις μονοσύλλαβον ἐν μόνῳ θηλυκῷ γένει συνεσταλμένον· τὸ γὰρ ἲς καὶ ἲν εὐθεῖαν ἔχει εἰς ς 〈καὶ〉 ν καὶ ἐκτέταται. φρῶ οὖν φραπὶς καὶ πραπίς, ἀφ’ ἧς προΐεται τὰ βουλεύματα. οὕτω Φιλόξενος. b. Ep. Hom. AP 3, 370, 12: πραπίδεσσιν · ... γέγονε δὲ παρὰ τὸ φρῶ, τὸ προϊῶ, φραπίς, ὡς λέπω λεπίς, κόπτω κοπίς, τροπῇ τοῦ φ εἰς π πραπίς, ἀφ’ ἧς προΐεται τὰ βουλεύματα. οὕτω Φιλόξενος. c. Et. Gen. AB s. v. πραπίδες (unde EM 686, 39): πραπίδες · ... ἔστι ῥῆμα ἱῶ τὸ σημαῖνον τὸ πέμπω, ὅπερ ἐν συνθέσει γίνεται προϊῶ καὶ κατὰ συγκοπὴν πρῶ καὶ φρῶ· ἐκ τούτου γίνεται φραπὶς καὶ πραπίς, ὡς λέπω λεπίς, ἀφ’ ἧς προΐενται τὰ βουλεύματα. a.

163* Or. 135, 11 in sede Philoxeni: πρόσφατος · κυρίως ὁ νεωστὶ πεφονευμένος. παρὰ τὸ φῶ, τὸ φονεύω, οὗ παράγωγον φημί, ὁ μέλλων φάσω, ὅθεν φατὸς ῥηματικὸν ὄνομα καὶ πρόσφατος. b. Et. Gen. AB s. v. πρόσφατον (unde EM 691, 6): πρόσφατον · κυρίως ἐπὶ τοῦ νεωστὶ πεφονευμένου. ἐκ τοῦ φῶ, τὸ φονεύω, γίνεται παράγωγον φημί, ἐξ οὗ τὸ „πέφαται δ’ ὤριστος Ἀχαιῶν“ (P 689) καὶ ἀρηΐφατος. Et.

164* Gen. AB s. v. πρόφρων (unde EM 691, 35), schol. Theocr. 1, 60b: πρόφρων · ... παρὰ τὴν πρὸ καὶ τὸ φρῶ. a.

165* Or. 131, 24 in sede Herodiani: πταίω · πέτω καὶ συγκοπῇ πτῶ καὶ διπλασιασμῷ πίπτω· τὰ γὰρ πετόμενα τοῖς πίπτουσιν ἔοικε. πτῶ οὖν καὶ πταίω. b. Et. Gen. AB s. v. πταίω · ἀπὸ τοῦ πέτω συγκοπῇ πτῶ καὶ κατὰ ἀναδιπλασιασμὸν πίπτω· τὰ γὰρ πετόμενα τοῖς πίπτουσιν ἔοικεν. πτῶ οὖν καὶ κατὰ παραγωγὴν πταίω· ἀπὸ τοῦ πίπτειν πολλάκις τοὺς προσπταίοντας. ἐκ δὲ τοῦ πέτω γίνεται πάλιν ῥῆμα ποτῶ· „μήτηρ δ’ ἀμφεποτᾶτο“ (B 315), ἐν ὑπερθέσει τοῦτ πτοῶ, ἔνθεν τὸ ἐπτοήθην, ὥσπερ καταπέπτωκε. a.

166* Et. Gen. AB s. v. πῶϋ · τὸ ποίμνιον ... ἢ παρὰ τὸ πῶ, τὸ κτῶμαι, ἐξ οὗ καὶ πάσασθαι, τὸ κτήσασθαι. b. Ep. Hom. AO 1, 358, 10 (unde Et. Gud. 490, 6 St. et cod. z p. 391): πῶϋ · σημαίνει τὸ ποίμνιον. γίνεται παρὰ τὸ πῶ, τὸ κτῶμαι· τὰ γὰρ κτήματα ἐπὶ τῶν θρεμμάτων λέγεται. Schol.

167* Dion. Thr., Gramm. Gr. I 3, 28, 29 Hilgard: ἢ ἀπὸ τοῦ ῥάπτειν (sc. ἐτυμολογεῖται ἡ ῥαψῳδία), ὅπερ ἐστὶ τὰ διεστῶτα καὶ διακεχωρισμένα εἰς ἓν συνάπτοντα ὑγιάζειν. ἔστι γάρ τι ῥῆμα ῥῶ, ὃ σημαίνει τὸ ὑγιάζω, ἔνθεν φαμὲν καὶ τὸ ἔρρωσο ἀντὶ τοῦ ὑγίαινε, καὶ ῥῶσιν τὴν ὑγίειαν· ἀπὸ τοῦ ῥῶ οὖν τούτου γίνεται παράγωγον ῥῆμα τὸ ῥάπτω, ὅθεν καὶ ἕως νῦν ῥάπτας φαμὲν τοὺς τὰ διεστῶτα ἱμάτια εἰς ἓν συνάγοντας καὶ ὑγιές τι ἓν ἀποτελοῦντας. ἀπὸ τοῦ ῥάπτω οὖν τούτου ὁ μέλλων γίνεται ῥάψω, ἀφ’ οὗ παράγωγον ῥαψῳδία. Et.

168* Gen. AB s. v. ῥήτρη · ... παρὰ τὸ ῥῶ, ὃ σημαίνει τὸ λέγω, ῥήσω 〈ῥήτρη〉. Et.

169* Gen. AB s. v. ῥώμη (ex Oro, vide Reitz., Gesch. p. 323, 15), unde EM 705, 48: ῥώμη · ἐπὶ μὲν τῆς ὑγείας παρὰ τὸ ῥῶ, οὗ ὁ παθητικὸς παρακείμενος ἔρρωμαι· ὁ μέλλων ῥώσω, ῥηματικὸν ὄνομα ῥώμη, ὡς γνώσω γνώμη. Or.

170* 149, 17 in sede Philoxeni (unde Et. Gen. AB s. v. σεῖστρον; de cod. B vide Miller, Mélang. p. 264): σεῖστρον · παρὰ τὸ σείω. Et.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

171* Gen. AB s. v. σείω (vide Reitz., Ind. lect. Rostoch. a. 1891/92 p. 14): σείω · ... ἢ ἔστι σῶ σείω, ἐξ οὗ σῶ σήθω, τὸ κοσκινίζω. Et.

172* Gen. AB s. v. σεύω (unde EM 710, 1): σεύω · τὸ ὁρμῶ καὶ διώκω. ἀπὸ τοῦ σῶ σεύω. a.

173* Or. 149, 7 in sede Philoxeni: σήθω · παρὰ τὸ σῶ, ὃ δηλοῖ τὸ σείειν ἐν τῷ κοσκίνῳ· ἀπὸ δὲ τούτου τὸ σήθω. Ἡρόδοτος (1, 200) τοῦ σῶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν λέγει σῶσιν, ἀντὶ τοῦ σήθουσιν. ὡς παρὰ τὸ κνῶ κνήθω, ἀλῶ ἀλήθω, πλῶ, ὅθεν τὸ πλῆμι καὶ διπλασιασμῷ πίμπλημι καὶ παράγωγον τοῦ πλῶ πλήθω, οὕτω τοῦ σῶ σήθω. b. Et. Gen. AB s. v. σήθω (unde EM 710, 39): σήθω · παρὰ τὸ σῶ, ὃ δηλοῖ τὸ σείω, ἐξ οὗ καὶ τὸ σείω. καὶ ἕτερον παράγωγον ῥῆμα ἀπ' αὐτοῦ σήθω, ὃ δηλοῖ τὴν ἐν τῷ κοσκίνῳ συνεχῆ κίνησιν. Ἡρόδοτος (1, 200) τοῦ σῶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν σῶσιν, ἀντὶ τοῦ σήθουσιν. καὶ ὡς παρὰ τὸ κνῶ κνήθω, ἀλῶ ἀλήθω, πλῶ πλήθω, οὕτω σῶ σήθω. οἱ δὲ Ἀττικοὶ τὸ σῶ τῶ λέγουσιν, ὡς σήμερον τήμερον. παρὰ δὲ τὸ τῶ διατῶ σύνθετον καὶ πλεονασμῷ τοῦ τ διαττῶ λέγουσιν Ἀττικοί. Or.

174* 147, 22 in sede Philoxeni (unde Et. Gen. AB s. v. σκληρός = EM 718, 14, Antistoech. cod. Crypt. Za III fol. 44 v , Et. Gud. cod. z p. 401): σκληρός · παρὰ τὸ σκλῶ μονοσύλλαβον, ὅ ἐστιν ἀπὸ τοῦ σκέλλω. Or.

175 147, 34 (unde Et. Gen. AB s. v. σόλος = EM 721, 39): σόλος · ὁ δίσκος. παρὰ τὸ σῶ, τὸ ὁρμῶ καὶ κινῶ· ἀπὸ γὰρ τοῦ σῶ τὸ σείω. τοῦ δὲ σῶ ὁ μέλλων σώσω καὶ ῥηματικὸν ὄνομα κατὰ συστολὴν τοῦ ω εἰς ο καὶ πλεονασμῷ τοῦ λ σόλος. παρὰ τὸ ὅλον σεύεσθαι ὡς στρογγύλον. οὕτω Φιλόξενος. Or.

176 147, 27 (unde Et. Gen. AB s. v. σπείρω = EM 723, 48; Et. Gud. cod. z p. 404, cf. p. 509, 21 St.): σπείρω · παράγωγον τοῦ σπῶ· ἅμα γὰρ τῷ καταβληθῆναι τὴν σπορὰν σπᾶται ὑπὸ τῆς γῆς τὸ χωρῆσαν εἰς αὐτήν. οὕτω Φιλόξενος. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν θηλειῶν, ὅτε δέχονται τὸ σπέρμα. a.

177 Or. 147, 24 (unde Et. Gud. cod. z p. 405, cf. 510, 30 St.): στεῖρα · παρὰ τὸ στῶ, οὗ παράγωγον στείω, στεῖρα πλεονασμῷ τοῦ ρ. ἡ τοῦ κυῆσαι στάσιν ἔχουσα. οὕτω Φιλόξενος. b. Ep. Hom. AP 3, 359, 19 (unde Et. Gen. AB s. v. στεῖρα = EM 727, 14): στεῖρα · ... ἢ παρὰ τὸ στῶ, οὗ παράγωγον στείω, ὡς σῶ σείω, κιχῶ κιχείω καὶ θῶ θείω, καὶ ἐκεῖθεν στεῖα, καὶ πλεονασμῷ τοῦ ρ στεῖρα. ἡ τοῦ κυῆσαι στάσιν ἔχουσα. οὕτω Φιλόξενος. Or.

178 141, 19 (unde Et. Gen. AB s. v. στεῦται = EM 726, 33): στεῦται · ... Φιλόξενος δὲ οὕτω φησίν· ὡς παρὰ τὸ ἀθλῶ ἀθλεύω, οἰνοχοῶ οἰνοχοεύω, λωβῶ λωβεύω, οὕτως καὶ τὸ στῶ στεύω στεύομαι στεύεται στεῦται· ἐπὶ τοῦ ὡρισμένου τῇ ψυχῇ καὶ στάσιν λαμβάνοντος καὶ ὑποθεμένου τι, περὶ οὗ διϊσχυρίζεται εἰπεῖν. Or.

179* 148, 30 in sede Philoxeni (unde Et. Gen. AB s. v. στήλη): στήλη · παρὰ τὸ στῶ ῥῆμα, οὗ ὁ μέλλων στήσω, στήλη. Or.

180* 149, 19 in sede Philoxeni (unde Et. Gen. AB s. v. στήμων = Et. Sym. cod. V ap. Gaisf. EM 2052 G): στήμων · παρὰ τὸ στῶ στήσω στήμων, ὡς φιλῶ φιλήσω φιλήμων. Or.

181* 150, 1 in sede Philoxeni (unde Et. Gen. AB s. v. στύλος = EM 731, 37): στῦλος · ὡς πλήθω πληθύω, ὕζω ὑζύω καὶ ἄνω ἀνύω, οὕτω καὶ στῶ στύω στύσω στῦλος, ὡς καὶ χῶ χύω χύσω χυλός ὀξυτόνως· τὰ γὰρ ῥηματικὰ ταῦτα ὀνόματα διαφόρως τονίζεται. Or.

182* 148, 21 in sede Philoxeni (unde Et. Gen. AB s. v. σφάζω): σφάζω · φῶ ἐστι ῥῆμα δηλοῦν τὸ ἀναιρῶ, οὗ παράγωγον εἰς μι φημί, ἔνθεν φατὸς καὶ ἀρηΐφατος καὶ τὸ πέφαται καὶ πεφάσθαι. {καὶ} τούτου τοῦ φῶ παράγωγον φάζω καὶ πλεονασμῷ τοῦ ς σφάζω. a.

183*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Or. 152, 7 in sede Philoxeni: τάλας · παρὰ τὸ τάλλω καὶ τλῶ κατὰ συγκοπὴν ῥῆμα. b. Et. Gen. AB s. v. τάλας (unde EM 745, 5; Et. Gud. cod. z p. 414): τάλας · παρὰ τὸ τάλλω, τὸ κακοπαθῶ, ἔνθεν Ἡσίοδός φησιν (Op. 131) „ἐτρέφετ' ἀτάλλων", ἀντὶ τοῦ μὴ κακοπαθῶν. τάλλω τλῶ. a. [5]

184* Or. 152, 21 in sede Philoxeni: τέρετρον · τρῶ τρᾷς ἐστι ῥῆμα, ὅπερ ἐστὶ κατὰ συγκοπὴν τοῦ τείρω. παρὰ δὲ τὸ τείρω τέρετρον, ὡς παρὰ τὸ φέρω φέρτρον, λέγω, ἐπὶ τοῦ κοιμῶμαι, λέκτρον. b. Et. Gen. AB s. v. τέρετρον (unde EM 752, 43): τέρετρον · ... ἔστι ῥῆμα τρῶ τρᾷς, ὅπερ ἀπὸ τοῦ τείρω κατὰ συγκοπήν. παρὰ δὲ τὸ τείρω τέρετρον, ὡς φέρω φέρτρον καὶ παρὰ τὸ λέγω, τὸ κοιμῶμαι, λέκτρον. δηλοῖ δὲ τὸ τρῶ τὸ κόπτω, ἔνθεν τὸ τρῶσαι καὶ ἐκτρῶσαι, ὃ δηλοῖ τὸ διακόψαι τὸν τοκετόν. a. [5]

185* Or. 154, 7 in sede Philoxeni: τηλία · ἡ περιφέρεια τοῦ κοσκίνου. παρὰ τὸ σῶ δηλοῦν τὸ σείω καὶ κινῶ, τὸ σήθω. σῶ σήθω, ἀφ' οὗ ὄνομα σηλία καὶ τηλία· τρέψαντες γὰρ οἱ Ἀττικοὶ τὸ ς εἰς τ τὸ σῶ τῶ λέγουσι καὶ ἐν συνθέσει διατῶ καὶ πλεονασμῷ τοῦ τ {τῶ διάω} διαττῶ. b. Et. Gen. AB s. v. τηλία (unde EM 756, 56): τηλία · ... Ὠρίων δὲ τὴν περιφέρειαν τοῦ κοσκίνου. παρὰ τὸ σῶ, τὸ σείω καὶ κινῶ, σῶ σήθω, ἀφ' οὗ ὄνομα σηλία καὶ τηλία· τρέψαντες γὰρ οἱ Ἀττικοὶ τὸ ς εἰς τ τὸ σῶ τῶ λέγουσι· καὶ ἐν συνθέσει τῆς διὰ διαττῶ πλεονασμῷ τοῦ τ. Or. [5]

186* 152, 8 in sede Philoxeni (unde Et. Gen. A s. v. τλήμων, gl. om. B): τλήμων · τλῶ τλήσω τλήμων. Or.

187* 152, 24 in sede Philoxeni (unde Et. Gen. AB s. v. τρίζω = EM 766, 15): τρίζω · παρὰ τὸ τρῶ τρίζω παράγωγον· δηλοῖ δὲ ὀδυνηράν τινα φωνὴν καὶ ἐπαλγῆ 〈ἀφιέναι〉 · „ἔνθ' ὅ γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτασ" (B 314). Or.

188* 152, 9 in sede Philoxeni (unde Et. Gen. AB s. v. τρύχεται = EM 771, 28): τρύχειν · τρῶ ἐστι ῥῆμα δηλοῦν τὸ βλάπτειν καὶ κακοῦν, οὗ παράγωγον τρώω· Ὅμηρος (φ 293) „οἶνός σε τρώει μελιηδήσ". τοῦ τρῶ ἄλλο παράγωγον τρύω καὶ προσθέσει τοῦ χ τρύχω. Or.

189 152, 13 (unde Et. Gen. AB s. v. τρώγω = EM 770, 40): τρώγω · παρὰ τὸ τρῶ τὸ σημαῖνον τὸ βλάπτω παράγωγον τρώγω. σημαίνει τὸ κατεργάζεσθαι καὶ μὴ ἐᾶν, ἅτινα ἂν τρώγῃ τις, ὑγιᾶ. οὕτω Φιλόξενος. Or.

190 152, 16 (unde Et. Gen. AB s. v. τρῶκται = EM 770, 50): τρῶκται · οὕτω τοὺς Φοίνικάς φησιν Ὅμηρος (ξ 288)· „δὴ τότε Φοῖνιξ 〈ἦλθεν〉 ἀνὴρ ἀπατήλια εἰδώς, τρώκτησ". ἐκ τοῦ τρῶ σημαίνοντος τὸ βλάπτω παράγωγον τρώγω, οὗ μέλλων τρώξω, ῥηματικὸν ὄνομα τρώκτης. ὁ ἐπὶ βλάβῃ τισὶν ἐγκαταμίσγων. οὕτω Φιλόξενος. Or. [5]

191* 156, 32 in sede Philoxeni (unde Et. Gen. B s. v. ὑπερφίαλος, deest A = EM 780, 3): ὑπερφίαλος · παρὰ τὸ φῶ, οὗ παράγωγον φαίνω· ὁ ὑπερφαίνοντα τῶν ἄλλων ἑαυτὸν ἐπιχειρῶν δεῖξαι, ὅ ἐστιν ὑπερήφανος. ἐὰν δὲ παρὰ τὸ φῶ, τὸ λέγω, ὁ ὑπὲρ τὴν ἑαυτοῦ δύναμιν λέγων καὶ ἐπαγγελλόμενος. a. [5]

192 Or. 156, 29: ὑποβλήδην · βλῶ ἐστι ῥῆμα, οὗ μέλλων βλήσω, βλῆσις ὄνομα καὶ ἀνάβλησις. ἀπὸ τοῦ βλῶ βλήσω βλήδην ἐπίρρημα καὶ σύνθετον ὑποβλήδην. οὕτω Φιλόξενος. b. Et. Gen. B s. v. ὑποβλήδην (deest A): ὑποβλήδην · ... ἔστι ῥῆμα βλῶ, ὅπερ ἀπὸ τοῦ βάλλω γίνεται κατὰ συγκοπήν, ὁ μέλλων βλήσω· ἀπὸ τούτου γίνεται ἐπίρρημα βλήδην καὶ ἐν συνθέσει ὑποβλήδην. Or. [5]

193* 160, 27 in sede Philoxeni: φάσγανον · 〈ἔστι〉 φῶ, τὸ ἀναιρῶ· τοῦ φῶ παράγωγον φάζω, ὡς βῶ βάζω. τοῦ δὲ φῶ ὁ μέλλων φάσω καὶ ῥηματικὸν ὄνομα φάσγανον, ὡς λείψω λείψανον. a.

194* Or. 162, 2 in sede Philoxeni: φρόνιμος · φρῶ ἐστι ῥῆμα, ἀφ' οὗ ὄνομα φρών, οὗ παράγωγον φρῶ φραίνω καὶ εὐφραίνω. ἀπὸ δὲ τοῦ φρῶ ἡ φρήν. παρὰ τὸ ἰῶ καὶ προϊῶ συναλιφῇ φρῶ καὶ φρήν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφ’ ἧς προΐεται τὰ βουλεύματα καὶ αἱ γνῶμαι. τὸ οὖν φρὼν ὄνομα γενικὴν ἔχει φρονός, οὗ παράγωγον φρόνιμος. b. Et. Gen. B s. v. φρόνιμος (vide Miller, Mélang. p. 304; deest A): φρόνιμος · φρῶ ἐστι ῥῆμα, ὅπερ ἀπὸ τοῦ προϊῶ γέγονε πρῶ καὶ φρῶ κατὰ συγκοπὴν καὶ τροπήν. φρῶ οὖν ῥῆμα, ἀφ’ οὗ ὄνομα φρὼν καὶ σύνθετον σώφρων καὶ εὔφρων καὶ ἄφρων δέ· οὗ παράγωγον φραίνω καὶ εὐφραίνω, ἐξ οὗ καὶ τὸ φρήν. τὸ οὖν φρὼν ὄνομα γενικὴν ἔχει φρονός, οὗ παράγωγον φρόνιμος καὶ ἡ φρόνις παρ’ Ὁμήρῳ (δ 258)· „κατὰ δὲ φρόνιν ἤγαγε πολλήν“. Schol.

195* Dion. Thr., Gramm. Gr. I 3, 181, 33 Hilgard: σχηματίζεται δὲ ἡ φωνὴ παρὰ τὸ φῶ, τὸ φαίνω, κατὰ πρόσληψιν συλλαβῆς τῆς νη γινομένη· φῶ φωνή· φαίνει γὰρ καὶ λαμπρῶς δηλοῖ τὰ ἐνθυμήματα. a.

196* Or. 160, 13 (unde Et. Gen. B s. v. φώς, deest A = EM 804, 28): φώς · ... ἢ παρὰ τὸ φῶ, τὸ λέγω· λογικὸν γὰρ ζῷον ὁ ἄνθρωπος. b. Or. 617, 7 Werf. (codd. HI): φώς · ... παρὰ τὸ φῶ, τὸ λέγω. Et.

197* Gen. B s. v. χάζω (vide Miller, Mélang. p. 306; deest A), unde Et. Sym. cod. V ap. Gaisf. EM 2247 F: χάζω · ἀπὸ τοῦ χῶ τοῦ σημαίνοντος τὸ χωρῶ κατὰ παραγωγὴν χάζω. a.

198* Or. 164, 20 in sede Philoxeni: χαίρω · παρὰ τὸ χέω, οὗ συναλιφὴ χῶ, καὶ παράγωγον χαίρω· τὸ διακεχυμένην καὶ ἡδομένην ἔχειν τὴν ψυχήν. b. Et. Gen. B s. v. χαίρω (vide Miller, Mélang. p. 306; deest A), unde EM 807, 50: χαίρω · παρὰ τὸ χῶ τὸ σημαῖνον τὸ διαχέω γίνεται παράγωγον χαίρω. Or.

199* 164, 25 in sede Philoxeni (unde Et. Gud. 562, 12 St. et cod. z p. 444): χάος · παρὰ τὸ χῶ χαίω χάος, ὡς δαίω, τὸ καίω, δάος, ἡ λαμπάς· δηλοῖ δὲ τὸ χάος τὸ μέγα καὶ ἀπέραντον χώρημα. Or.

200 165, 15 (unde Et. Gud. 563, 11 St. et cod. z p. 445): Χάρων · παρὰ τὸν χήσω μέλλοντα δηλοῦντα τὸ χωρῶ. οὕτω Φιλόξενος. Or.

201* 164, 23 in sede Philoxeni (unde Et. Gud. 563, 20 St. et cod. z p. 445): χάσμα · παρὰ τὸ χῶ, οὗ παράγωγον χάζω, ὁ μέλλων χάσω, κέχασμαι χάσμα. a.

202 Or. 164, 34: χεὰ καὶ χειά · ὁ φωλεός. παρὰ τὸ χέω, οὗ μέλλων μετὰ περισσοῦ τοῦ ι χείσω. δηλοῖ δὲ τὸν χωρεῖν δυνάμενον τόπον. οὕτω Φιλόξενος. Ὅμηρος (ς 17)· „οὐδὸς δ’ ἀμφοτέρους ὅδε χείσεται“. καὶ μετὰ περισσοῦ τοῦ ο· Καλλίμαχος (fr. 575 Pf.)· „οἱ δ’ ὥστ’ ἐξ ὀχεῆς ὄφις αἴολος αὐχέν’ ἀναύχην“. b. Schol. A ad X 93 (ex Ariston.): 〈 ἐπὶ χειῇ 〉 · ὅτι τὴν τῶν ὄφεων κατάδυσιν χειὰν εἴρηκεν, ἀπὸ τοῦ χεῖσθαι, ὅ ἐστι χωρῆσαι· εἰς αὐτὸ γὰρ μόνον μηχανῶνται οἱ ὄφεις εἰς τὸ χωρῆσαι τὸ σῶμα ὥσπερ ἔλυτρον· „οὐδὸς δ’ ἀμφοτέρους ὅδε χείσεται“ (ς 17). a.

203* Or. 164, 28 in sede Philoxeni: χηλός · τὸ κιβώτιον. χῶ χήσω χηλός, ὡς παρὰ τὸ βῶ βήσω βηλός· χηλὸς δὲ ἡ χωροῦσα ἕκαστον τῶν ἐντιθεμένων. b. Et. Gen. B s. v. χηλός (deest A), unde EM 811, 12, Et. Gud. cod. z p. 446: χηλός · ... χῶ χήσω χηλός, ὡς παρὰ τὸ ἥσω ἧλος· ἡ χωροῦσα ἕκαστον τῶν ἐντιθεμένων. Or.

204* 164, 31 in sede Philoxeni (unde Et. Gud. 564, 53 St., cod. z p. 446): χηραμός · ὁμοίως παρὰ τὸ χῶ, τὸ χωρῶ· χῶ χήσω χῆρος, ὁ ἔρημος, ὁ χωρεῖν δυνάμενος διὰ τὸ κενὸν εἶναι. χῆρος οὖν καὶ παρώνυμον χηραμός. a.

205 Or. 165, 17: χῆτος · οὕτως οὐδετέρως τὸ δηλοῦν τὴν ἔνδειαν. ὁμοίως παρὰ τὸν χήσω μέλλοντα. παρὰ δὲ τὸ χῆτος ῥῆμα χητίζω καὶ χατίζω, ὡς θέρος θερίζω, ἄνθος ἀνθίζω ἐξανθίζω. Φιλόξενος. b. Et. Gud. 565, 2 St. et codd. d fol. 142 r , z p. 446 (unde EM 811, 42): χήτεϊ · ... παρὰ τὸ χῶ ῥῆμα, ὃ σημαίνει τὸ ἐνδεοῦμαι. χῶ οὖν ὁ μέλλων χήσω, ὄνομα ῥηματικὸν χῆτος, ἡ ἔνδεια, καὶ χῆτος ἕτερον ὄνομα οὐδέτερον παρὰ τὸν χήσω μέλλοντα· „χήτεϊ“ Ἡσίοδος (Th.

605). παρὰ δὲ τὸ χῆτος ῥῆμα χητίζω καὶ χατίζω, ὡς θέρος θερίζω, ἄνθος ἀνθίζω. οὕτω Φιλόξενος. a. [5]

206* Et. Gen. B s. v. χθών (deest A), unde EM 809, 11: χθών · ... ἢ παρὰ τὸ χῶ, τὸ χωρῶ, οὗ παράγωγον χείω· ὅθεν „οὐδὸς δ’ ἀμφοτέρους ὅδε χείσεται“ (ς 17). b. Ep. Hom. (AO 1, 438, 10. AP 3, 328, 24), unde Et. Gud. 565, 52 St. et cod. z p. 447: χθών · παρὰ τὸ χῶ, τὸ χωρῶ, γίνεται χὼν καὶ πλεονασμῷ τοῦ θ χθών· ἡ πάντας χωροῦσα. Or. [5]

207* 165, 5 in sede Philoxeni: χορός · παρὰ τὸ χῶ, τὸ χωρῶ. ἐπὶ τοῦ τόπου. Ὅμηρος (θ 260)· „λείηναν δὲ χορόν“. καὶ μετωνυμικῶς ἐπὶ τῶν συνελθόντων εἴρηται χορός, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. Or.

208* 164, 12: χώρα · ... ἢ παρὰ τὸ χῶ, τὸ χωρῶ. Or.

209 165, 4 (unde Et. Gen. B s. v. χῶρος, deest A), unde Et. Sym. cod. V ap. Gaisf. EM 2277 A: χῶρος · παρὰ τὸ χῶ, τὸ χωρῶ. Φιλόξενος οὕτως. Or.

210 168, 4 (unde Et. Gen. B s. v. ψεδνός, deest A): ψεδνός · παρὰ τὸ ψῶ, οὗ μέλλων ψήσω, ῥηματικὸν ὄνομα ψεδνός, ὁ μαδαρός· παρὰ τὸ ἀπεψῆσθαι. οὕτω Φιλόξενος. Or.

211* 167, 22 (unde Et. Gen. B s. v. ψιλός, deest A = EM 818, 35): ψιλός · παρὰ τὸ ψῶ, ὅθεν καὶ τὸ καταψῶ· οὗ πᾶν ὁτιοῦν ἀπέψισται καὶ ἀφῄρηται. Joh.

212* Maurop. Ἐτυμολογικὸν ἔμμετρον, v. 376 (ap. Reitz., M. T. Varro und Joh. Mauropus p. 15): 〈 ψύλλα 〉 · ἢ παρὰ τὸ ψῶ· πᾶν μέρος γὰρ λεπτύνει. Or.

213* 167, 24 (unde Et. Gen. B s. v. ψώρα, deest A = EM 819, 48): ψώρα · παρὰ τὸ ψῶ ὁμοίως, οὗ παράγωγον ψαύω. ἐπειδὴ οἱ τῷ πάθει ἐνεχόμενοι τούτῳ πολλὴν ἔχουσιν ὁρμὴν ἐπὶ τὸ ψᾶν τε καὶ κνήθειν τὰ πεπονθότα αὐτῶν μέρη. Or.

214 169, 21 (unde Et. Gen. B s. v. ὠμόν, deest A = EM 822, 15 mutato ordine, Et. Gud. 578, 27 St. et cod. z p. 455): ὠμόν · ... ἢ ὡς Φιλόξενος ὠμὸν εἰρῆσθαί φησι τὸ ἐν ταυτότητι μένον· παρὰ τὸ ὦ, τὸ ὑπάρχω, οἷον τὸ ἐν ταυτότητι μένον καὶ μὴ μεταβληθέν. Or.

215* 170, 14 (unde Et. Gen. B s. v. ὦμος, deest A = EM 822, 20): ὦμος · παρὰ τὸ ὦ τὸ ὑπαρκτικὸν ῥῆμα· ὁ ὑπομένων τὰ βάρη ἰσχυρῶς καὶ τὰ φορτία. καὶ παρὰ τὸν οἴσω μέλλοντα, ἐφ’ οὗ φέρομεν τὰ βάρη καὶ τὰ φορτία, γέγονεν οἶμος καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ω ὦμος. ὡς ἐκ τοῦ ἐναντίου ἀγκὼν ἀγκώνη ἔδει λέγεσθαι καὶ τροπῇ τοῦ ω εἰς οι ἀγκοίνη. τοιοῦτόν ἐστι καὶ τὸ θοίνη. ἀπὸ τοῦ θῶ τοῦ δηλοῦντος τὸ τρέφω, ὁ μέλλων θώσω, θώνη ἔδει· καὶ λέγεται θοίνη. E LIBRO ΠΕΡΙ ΣΗΜΕΙΩΝ ΤΩΝ ΕΝ ΤΗΙ ΙΛΙΑΔΙ Phryn. [5]

216 Eclog. 234 Fischer (p. 68 L. = 49 p. 141 R.): υἱέα · ἐν ἐπιστολῇ ποτε Ἀλεξάνδρου τοῦ σοφιστοῦ εὗρον τοὔνομα τοῦτο γεγραμμένον, καὶ σφόδρα ἐμεμψάμην· οὐ γάρ, ἐπεὶ υἱέος καὶ υἱεῖ ἐστιν, εὐθὺς καὶ τὸν υἱέα εὕροι τις ἄν, ἀλλὰ τὴν αἰτιατικὴν υἱὸν λέγουσιν οἱ ἀρχαῖοι. τοῦτο δὲ καὶ Φιλόξενος ἐν τοῖς ε′ Περὶ τῆς Ἰλιάδος συγγράμμασι δαψιλέστατα ἀπέφηνεν, ἀδόκιμον μὲν εἶναι τὸν υἱέα, δόκιμον δὲ τὸν υἱόν. Schol. [5]

217 A ad Υ 471 (e Didymi libro Περὶ τῆς Ἀρισταρχείου διορθώσεως, vide M. Schmidt, Didymi fragm. p. 169): κόλπον ἐνέπλησεν· ἐνέπρησεν Φιλόξενος καὶ Ἀρίσταρχος (cf. Ludwich, Aristarchs Hom. Textkr. I 457, 25). περὶ δὲ τῆς γραφῆς Ἀρίσταρχος ἐν ὑπομνήματί φησιν οὕτως· „τὸ αἷμα ἀπὸ τοῦ ἥπατος ἐκρούνιζε χύδην καὶ τὸν τοῦ χιτῶνος κόλπον ἐνεφύσησεν“. ΠΕΡΙ ΤΩΝ ΕΙΣ ΜΙ ΛΗΓΟΝΤΩΝ ΡΗΜΑΤΩΝ Schol. [5]

218 A ad Ω 665 (ex herodiano, vide 2, 128, 26 L.): δαινῦτό τε λαός · ... Φιλοξένῳ δὲ ἀρέσκει ἐν τοῖς εἰς μι λήγουσι καὶ ἑνικὸν αὐτὸ εὐκτικὸν εἶναι ἀκολούθως κεκλιμένον. ΠΕΡΙ ΑΝΑΔΙΠΛΑΣΙΑΣΜΟΥ a.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

219 Et. Gud. 62, 14 Stef. (ex Orione): ἀκαλός · „ἐξ ἀκαλα〈ρ〉ρείταο“ (Η 422), τοῦ πραέως καὶ ἠρέμα ῥέοντος. εἴρηται δὲ παρὰ τὴν ἀκὴν δηλοῦσαν τὴν ἡσυχίαν· „ἀκὴν ἐγένοντο σιωπῇ“ (Γ 95). καὶ ἄλλο παράγωγον· ἐκ τοῦ ἄκος καὶ τοῦ αλ πάλιν πλεονάσαντος ἐγένετο ἀκαλός. οὕτω Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. b. Or. 24, 9: 〈ἀκαλός〉 · „ἀκαλαρρείταο“ (Η 422). παρὰ τὴν ἀκὴν δηλοῦσαν τὴν ἡσυχίαν. καὶ ἄλλο παράγωγον. ἐκ τοῦ ἄκος καὶ τοῦ αλ πλεονάσαντος ἐγένετο ἀκαλός. a.

220 Et. Gud. 79, 9 Stef.: ἀλακάτη καὶ ἠλακάτη · ἀπὸ τοῦ ἄγω ἄξω ἀκτὸς εἴρηται καὶ ἀκτή, καὶ κατὰ πλεονασμὸν ἐν μέσῳ τοῦ α ἀκάτη· καὶ ἐπεισελθόντος πάλιν τοῦ αλ μορίου, ὡς ἐπὶ ἄλλων πλείστων, ὠνομάσθη ἀλακάτη καὶ ἠλακάτη κατὰ Ἴωνας· τὸ ἀγωγὸν τοῦ περιάγοντος αὐτὴν καὶ γινομένου νήματος ἐρίου ἢ λίνου. ἠλακάτη οὖν κατὰ Ἴωνας, ὡς ἀπεδανὸς καὶ ἠπεδανός. οὕτω Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. b. Et. Gen. B s. v. ἀλακάτη (deest A), unde EM 57, 1: ἀλακάτη · καὶ ἠλακάτη Ἰωνικῶς· παρὰ τὸ ἄγω ἄξω γίνεται ὄνομα ῥηματικὸν ἀκτὸς καὶ τὸ θηλυκὸν ἀκτή, καὶ πλεονασμῷ τοῦ α ἀκάτη· καὶ πάλιν ὑπεισελθούσης τῆς αλ συλλαβῆς, ὥσπερ εἴωθε γίνεσθαι, ἀλακάτη· ἡ ἄγουσα τὸ ἔριον ἢ λίνον. οὕτως Ὠρίων. a.

221 Or. 36, 18: βαμβαίνω · παρὰ τὸ βαίνω· οἱ γὰρ κατάσχετοι ὑπὸ φόβου οὐχ οἷοί τε εἶναι ἑδραῖοι ταῖς βάσεσιν ἀμφοτέραις, ὡς ὑπὸ Ὁμήρου (Ν 281) παραδέδοται· „ἀλλὰ μετοκλάζει καὶ ἐπ’ ἀμφοτέρους πόδας ἵζει“. ἀπὸ μεταφορᾶς οὖν τῶν ποδῶν εἴρηται ἐπὶ τῶν ἑδραίαν τὴν φωνὴν ἔχειν μὴ δυναμένων. βαίνω βαβαίνω καὶ βαμβαίνω. οὕτω Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. b. Et. Gen. AB s. v. βαμβαίνει (unde EM 187, 27): βαμβαίνει · … εἴρηται ἀπὸ μεταφορᾶς τῶν ποδῶν ἐπὶ τῶν μὴ ἑδραίαν τὴν φωνὴν ἐχόντων· οἱ γὰρ κατάσχετοι ὑπὸ φόβου οὐχ οἷοί τε ἑδραῖοι ἀμφοτέραις ταῖς βάσεσιν εἶναι, ὥς φησιν ὁ ποιητής (Ν 281)· „ἀλλὰ μετοκλάζει καὶ ἐπ’ ἀμφοτέρους πόδας ἵζει“. ἔστιν οὖν βαίνω καὶ κατὰ ἀναδιπλασιασμὸν βαβαίνω καὶ πλεονασμῷ τοῦ μ βαμβαίνω· τὸ ὑπὸ τρόμου ἠχεῖν τοὺς ὀδόντας καὶ ἀνάρθρως λέγειν. Or.

222 41, 10 (unde Et. Gen. AB s. v. γαγγαλίζω = EM 219, 25, Et. Gud. 294, 2 Stef.): γαγγαλίζω · παρὰ τὸ γελῶ γελίζω καὶ τροπῇ τοῦ ε εἰς τὸ α γαλίζω, καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμῷ τοῦ γ γαγγαλίζω, τὸ εἰς γέλωτα ἄγω. οὕτω Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. a.

223 Or. 39, 20: γυνή · … ὁ δὲ Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ φησιν, ὅτι γῶ ἐστι ῥῆμα δηλοῦν τὸ δέχομαι καὶ λαμβάνω, ὅθεν καὶ γωρυτός, ὁ δεχόμενος τὸ ῥυτόν. γῶ γωγυία γυνή, 〈ἡ〉 δεκτικὴ τοῦ σπέρματος. b. Et. Gen. AB s. v. γυνή (unde EM 243, 16; Et. Gud. 326, 14 Stef.): γυνή · παρὰ τὸ γῶ, τὸ λαμβάνω καὶ δέχομαι, γίνεται γυνή, ἡ δεκτικὴ τοῦ σπέρματος. c. Or. 42, 5: γωρυτός · παρὰ τὸ γῶ, τὸ λαμβάνω· ὅπερ εἴρηται ἀπὸ τῆς γῆς τῆς τὰ πάντα λαμβανούσης καὶ χωρούσης γωρυτὸς οὖν ὁ λαμβάνων καὶ δεχόμενος τὸ ῥυτόν, τουτέστι τὸ τόξον. a.

224 Ep. Hom. AP 3, 350, 13: ἐγγυαλίξαι · τὸ εἰς χεῖρας παρασχεῖν, ἐγχειρίσαι. ἔστι ῥῆμα γῶ, τὸ χωρῶ, ἐξ οὗ γυῖον, τὸ κοῖλον τῆς χειρός· γυῖα γὰρ οἱ πόδες καὶ αἱ χεῖρες καλοῦνται· ἀφ’ οὗ καὶ γῆ, ἡ πάντα χωροῦσα καὶ πάντα λαμβάνουσα. οὗ παράγωγον γύω· τοῦτο δὲ πάλιν ποιεῖ παράγωγον κατὰ πλεονασμὸν τοῦ αλ γυαλίζω, ὡς Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ, καὶ μετὰ τῆς ἐν προθέσεως ἐγγυαλίζω, ὁ ἀόριστος ἐγγυάλιξα καὶ τὸ ἀπαρέμφατον ἐγγυαλίξαι. b. Et. Gen. A II B s. v. ἐγγυαλίξαι (ex Orione), unde EM 309, 26: ἐγγυαλίξαι · τὸ εἰς χεῖρας παρασχεῖν. γέγονε παρὰ τὸ γῶ, τὸ λαμβάνω καὶ δέχομαι, ὅθεν καὶ γωρυτός, ὁ δεχόμενος τὰ ῥυτά, γύω ῥῆμα, ἀφ’ οὗ καὶ γυῖα, αἱ χεῖρες, ἃς πρὸς τὸ λαβεῖν καὶ συνέχειν ἐδημιούργησεν ἡ φύσις· ἕτερον παράγωγον γυΐζω καὶ ἐν συνθέσει κατὰ πλεονασμὸν τῆς αλ συλλαβῆς γέγονεν ἐγγυαλίζω. c. Ep. Hom. AO 1, 140, 28 (unde Et. Gud. 392, 1 Stef.): ἐγγυαλίζω · ἔστι γῶ, τὸ χωρῶ καὶ δέχομαι· τοῦτο κατὰ παραγωγὴν γύω, καὶ ἐξ αὐτοῦ γυῖα, τὰ μέλη. ἔστιν οὖν γύω καὶ κατὰ παραγωγὴν γυΐζω καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλεονασμῷ τῆς αλ συλλαβῆς ⟨γυαλίζω⟩ · ὡς ⟨παρὰ⟩ τὸ εἴκω, τὸ ὁμοιῶ, εἴκιον καὶ ἐνίκιον καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ⟨καὶ προσθέσει τοῦ γ⟩ ἐναλίγκιον, οὕτω καὶ τοῦτο. κυρίως δὲ ἐγγυαλίζειν τὸ εἰς χεῖρας δοῦναί τι καὶ παρασχεῖν. d. Or. 51, 2 in sede scholiorum (vide Erbse, Beiträge p. 285, 289): ἐγγυαλίξαι · ... παρὰ τὸ γῶ ῥῆμα τὸ δηλοῦν τὸ χωρῶ ἢ δέχομαι καὶ λαμβάνω, ὅθεν καὶ γωρυτός, ὁ δεχόμενος τὸ ῥυτόν, τουτέστι τὸ τόξον. Or.

225 62, 15 (unde Et. Gen. A I B s. v. εἰδαλίμας = EM 295, 26): εἰδαλίμας (ω 279)· παρὰ τὸ εἶδος εἴδιμος· ὡς πεύκη πεύκιμος, κῦδος κύδιμος, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς πευκάλιμος καὶ κυδάλιμος, οὕτως εἶδος εἴδιμος καὶ εἰδάλιμος. οὕτω Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. a.

226 Or. 63, 1: ἐναλίγκιος · παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ. ὥσπερ παρὰ τὸ πήσσω πάγιος, ἁρμόζω ἁρμόδιος, ⟨οὕτω⟩ καὶ παρὰ τὸ εἴκω εἴκιος. καὶ ὥσπερ τὸ εἴκελος ἀποβάλλει τὸ ε, „εἴκελος ἀστεροπῇ“ (Ξ 386), οὕτω καὶ παρὰ τὸ εἴκω εἴκιος ἐνείκιος καὶ χωρὶς τοῦ ε καὶ προσιόντος τοῦ αλ καὶ πλεονάσαντος τοῦ γ διὰ τὰ ἐπάλληλα βραχέα ἐναλίγκιος. Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. b. Et. Gen. A II B s. v. ἐναλίγκιος (unde EM 337, 20): ἐναλίγκιος · ... ὡς παρὰ τὸ πήσσω γίνεται πάγιος καὶ παρὰ τὸ ἁρμόζω ἁρμόδιος, οὕτως καὶ παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ, γίνεται εἴκιος· καὶ ἐπειδὴ πολλάκις τὰ τοιαῦτα διὰ χρείαν μέτρου ἀποβάλλουσι τῆς ει διφθόγγου τὸ ε, οἷον „εἴκελος ἀστεροπῇ“ (Ξ 386) καὶ „τῷ δ’ ἴκελος κατέδυ Τρώων πόλιν“ (δ 249), τούτου χάριν καὶ τοῦτο ἀποβάλλει τὸ ε τῆς ει διφθόγγου καὶ γίνεται ἴκιος καὶ ἐνίκιος καὶ προσελθούσης τῆς αλ συλλαβῆς μετὰ πλεονασμοῦ τοῦ γ διὰ τὰ ἐπάλληλα βραχέα γέγονεν ἐναλίγκιος. a.

227 Or. 79, 1: ἰξάλου αἰγός (Δ 105)· παρὰ τὸν ἴξω μέλλοντα. πολλάκις δὲ τὰ παράγωγα ἀλλάσσει τὸ πνεῦμα καὶ ἀπὸ δασέος γίνεται ψιλόν, οἷον ἅμα δασύνεται, ἄμυδις δὲ ψιλοῦται. ἱδρὼς δασύνεται ⟨ *** ⟩ οὕτως ἵκω ἴξω ἴξαλος. οὕτω Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. b. Et. Gen. AB s. v. ἰξάλου (unde EM 471, 41): ἰξάλου · ... παρὰ τὸν ἴξω μέλλοντα γέγονεν ἴξαλος. δεῖ δὲ γινώσκειν ὅτι πολλάκις τὰ παράγωγα ἀλλάσσουσι τὸ πνεῦμα καὶ ἀπὸ μὲν δασέος γίνεται ψιλόν, οἷον τὸ ἅμα δασύνεται, τὸ δὲ ἄμυδις ψιλοῦται· τὸ ἥλιος δασύνεται, τὸ δὲ ἀπηλιώτης ψιλοῦται. οὕτως οὖν καὶ ἵξω ἴξαλος. Or.

228 100, 5, EM 573, 5: μάγειρος · ... καὶ Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ πλεονασμὸν λέγει τοῦ μ· παρὰ τὸ ἀγείρειν, τὸ ἀθροίζειν, ἤτοι ἐξ ὧν ἀρτύει ἢ ὧν παρασκευάζει ὄψων. Or.

229 104, 8: μαρμαρυγή · μαίρω ἐστὶ ῥῆμα, ἀφ’ οὗ μαρμαίρω· ἕτερον ὄνομα παράγωγον μαρμαρύζω· ῥηματικὸν ὄνομα μαρμαρυγή. καὶ ὡς ἀπὸ τοῦ ἁρπάζω ἁρπαγή, ὀλολύζω ὀλολυγή, ⟨οὕτω⟩ καὶ ἀπὸ τοῦ μαρμαρύζω μαρμαρυγή. οὕτω Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. Or.

230 104, 18 (unde Et. Gud. 380, 58 St. et cod. z p. 302; EM *574, 159): μασῶμαι · παρὰ τὸ σῶ, ὃ δηλοῖ τὸ σείω καὶ κινῶ, ἀφ’ οὗ καὶ τὸ σήθω, καὶ προσλαβὸν τὴν μα συλλαβὴν ἐποίησε τὸ μασῶ καὶ μασῶμαι, τὸ εἰς λεπτὰ τὴν τροφὴν κερματίζειν καὶ κατακόπτειν. οὕτω Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. Or.

231 122, 15 (unde Et. Gen. AB s. v. ὄρφνη = EM 634, 28): ὄρφνη · παρὰ τὸ ἐρέφω, ὅ ἐστι σκέπω, γίνεται ὀροφή, πλεονασμῷ τοῦ ν ὀροφνὴ καὶ συγκοπῇ ὄρφνη, ἡ σκέπουσα τὸ φῶς. οὕτω Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. a.

232 Or. 122, 29: ὄχλος · χλῶ ἐστι ῥῆμα ⟨ *** ⟩ παρὰ Πινδάρῳ ἐν τοῖς Ὀλυμπιονίκαις (9, 2)· „τριπλόος ὁ κεχλαδώς“, ὁ πληθύων. ἀπὸ τοῦ χλῶ παράγωγον χλάζω καὶ ἀναδιπλασιασμῷ καχλάζω, οὗ παρατατικὸς ἐκάχλαζον. τὸ οὖν χλῶ ῥῆμα ὄνομα ῥηματικὸν ποιεῖ ⟨χλόσ⟩, ἐπεκτάσει τὴν διὰ τοῦ ο αὔξησιν λαβὸν ἀπέφηνεν ὄνομα ὄχλος, τὸ πληθύος σύστημα. οὕτω Φιλόξενος ἐν τῷ Περὶ ἀναδιπλασιασμοῦ. b. Et. Gen. AB s. v. ὄχλος (ex Orione): ὄχλος · παρὰ τὸ χλῶ, ἔνθεν καὶ τὸ παρὰ Πινδάρῳ ἐν Ὀλυμπιονίκαις (9, 2), οἷον, „τριπλόος ὁ κεχλαδώς“, ἀντὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ὁ πληθύων. χλῶ οὖν καὶ ῥηματικὸν ὄνομα κατ’ ἐπένθεσιν τοῦ ο ὄχλος. ἐκ δὲ τοῦ χλῶ καὶ τὸ καχλάζω κατὰ ἀναδιπλασιασμόν. E LIBRO ΠΕΡΙ ΑΝΑΔΙΠΛΑΣΙΑΣΜΟΥ a.

233* Or. 22, 10 in sede Philoxeni: ἀκωκή · παρὰ τὴν ἀκήν ἐστι, καὶ ἀναδιπλασιασμῷ ἀκωκή, ὡς ἄγω ἀγωγή. b. Et. Gen. B s. v. ἀκωκή (deest A), unde EM 55, 25: ἀκωκή · ἡ ὀξύτης τοῦ βέλους. παρὰ τὸ ἀκὴ γίνεται κατὰ ἀναδιπλασιασμὸν ἀκωκή, ὡς ἔδω ἐδωδή. Schol.

234* E ad γ 237: ἀλαλκέμεν · ἀλκεῖν· καὶ ἐγένετο ἀλκὲν κατὰ συστολήν, καὶ ἐκβολῇ τοῦ ν καὶ προσθέσει τῆς μεν ἀλκέμεν καὶ ἐξ αὐτοῦ ἀλκέμεναι καὶ πλεονασμῷ τῆς αλ ἀλαλκέμεναι. a.

235* Or. 24, 22 in sede Philoxeni: ἀμαλδῦναι · τὸ ἀφανίσαι. παρὰ τὴν ἄμμον ἀποβολῇ τοῦ ἑνὸς μ ἀμῶ γίνεται· ὡς δοῦλος δουλῶ, φίλος φιλῶ, οἶκος οἰκῶ, οὕτω καὶ ἄμμος ἀμῶ καὶ ἄλλο παράγωγον ἀμύνω· καὶ προσελθόντος τοῦ αλ, ὡς ἐπὶ πολλῶν ἄλλων, ἀμαλύνω γίνεται· πλεονασμῷ τοῦ δ ἀμαλδύνω. b. Et. Gen. AB s. v. ἀμαλδῦναι (vide Reitz., Gesch. p. 12, 27), unde EM 76, 25, Et. Sym. ap. Reitz., Gesch. p. 270, 7: ἀμαλδῦναι · ... ἢ ἁπλῶς τὸ ἀφανίσαι ἢ ὁμαλίσαι, οἷον „τεῖχος ἀμαλδῦναι“ (Μ 18). παρὰ τὴν ἄμμον, οἷον ἄμμος 〈ἀμμῶ καὶ〉 ἀμῶ, ὡς δοῦλος δουλῶ καὶ φίλος φιλῶ, παράγωγον ἀμύνω, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς καὶ τοῦ δ ἀμαλδύνω. οὕτως Ὠρίων. Et.

236* Gen. AB s. v. ἀμιχθαλόεσσαν (ex Orione, vide Reitz., Gesch. p. 26, 18), unde EM 83, 55, Et. Sym. ap Reitz., Gesch. p. 276, 17: ἀμιχθαλόεσσαν · σημαίνει δὲ τὴν 〈ἐκ〉 θαλάσσης ἀπρόσμικτον οὖσαν {τῇ γῇ} διὰ τὸ μὴ ἔχειν λιμένα· „καὶ Λῆμνον ἀμιχθαλόεσσαν“ (Ω 753). γέγονε παρὰ τὸ ἄμικτος ἀμικτόεις, ὡς βροτὸς βροτόεις, καὶ τροπῇ τοῦ κ εἰς χ ἀμιχθόεις καὶ τὸ θηλυκὸν ἀμιχθόεσσα, ὡς αὐδήεις αὐδήεσσα, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἀμιχθαλόεσσα ... οὕτως Ὠρίων. a.

237* Or. 21, 18 in sede Philoxeni: ἄρτος · παρὰ τὸ αἴρειν, τὸ προσφέρειν, καὶ μάττειν. καὶ Ἱπποκράτης (Aphor. 1, 15 = 4, 466, 14 L.) προσάρματα τὰ σιτία φησί. καὶ Ἀριστοφάνης (Pax 1) „αἶρ’ αἶρε μᾶζαν“. καὶ ἁρμαλιὰ ἐπὶ τῆς τροφῆς. παρὰ τὸ αἴρω, τὸ προσφέρω, ἁρμός, ὡς καθαίρω καθαρμός. παρὰ οὖν τὸ ἁρμὸς ἁρμιά, καὶ πλεονασμῷ τῆς αλ 〈συλλαβῆσ〉 ἁρμαλιά. b. Et. Gen. AB s. v. ἄρτος (unde EM 150, 36): ἄρτος · οἷον „ἄρτος δισκοπάνιστος ἀπ’ εὐκύκλου κανέοιο“ (Batrach. 35). παρὰ τὸ αἴρειν, ὅ ἐστι καθ’ ἑκάστην προσφέρειν. καὶ Ἱπποκράτης (Aphor. 1, 15) προσάρματα τὰ σιτία λέγει. c. Et. Gen. AB s. v. ἁρμαλιά (unde EM 145, 7): ἁρμαλιά · ἡ τροφή ... ἢ παρὰ τὸ αἴρειν τὰ σώματα γίνεται ἁρμός, ὡς καθαίρω καθαρμός, οὕτω αἴρω ἁρμός, ἀφ’ οὗ παρώνυμον ἁρμιά, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἁρμαλιά. d. Et. Gud. 199, 16 Stef.: ἁρμαλιά · ἡ τροφή ... ἢ παρὰ τὸ αἴρω, τὸ προσφέρω, ἐστίν, ὡς Ἱπποκράτης ἐν Ἀφορισμοῖς (1, 15) προσάρματα τὰς τροφὰς καλεῖ· ὡς δὲ καθαίρω καθαρμός, σαίρω σαρμὸς παρ’ Ἱππώνακτι (fr. 165a West) 〈***〉. a.

238* Or. 44, 4 in sede Philoxeni: γάγγαμον · δίκτυόν ἐστιν. ὡς 〈 *** 〉 γάζω γάσω γάμος γάγγαμος καὶ γάγγαμον 〈πλεονασμῷ〉 τοῦ γ 〈καὶ〉 διπλασιασμῷ. ἀπὸ τοῦ λαμβάνειν τὰ ἀγρευόμενα. b. Et. Gen. AB s. v. γαγγαμών (unde EM 219, 17): γάγγαμον σημαίνει τὸ δίκτυον. Αἰσχύλος (Ag. 359—61)· „μήτ’ οὖν νεαρῶν τιν’ ὑπερτελέσαι μέγα δουλείας γάγγαμον ἄτης παναλώτου“. παρὰ τὸ γῶ ῥῆμα τὸ σημαῖνον τὸ λαμβάνω γίνεται γάζω. καὶ ὡς σκεδῶ σκεδάζω σκεδασμός, κλύζω κλυσμὸς καὶ κατακλυσμός, οὕτω γάζω γασμὸς καὶ κατ’ ἔλλειψιν τοῦ ς καὶ διπλασιασμῷ γάγγαμον, τὸ λαμβάνον δίκτυον. a.

239* Or. 43, 7 in sede Philoxeni: γύαλον · κυρίως τὸ κοῖλον τῆς χειρός. παρὰ τὸ γύω, ἀφ’ οὗ γύον καὶ γυῖον. τὸ δὲ γύω παράγωγον τοῦ γῶ δηλοῦντος τὸ λαμβάνω, ἀφ’ οὗ γῆ, ἡ πάντα λαμβάνουσα. γύον οὖν καὶ πλεονασμῷ τοῦ αλ γύαλον. b. Et. Gen. AB s. v. γύαλον (unde EM 242, 15): γύαλον · ... κυρίως δὲ τὸ κοῖλον τῆς χειρὸς λέγεται γύαλον. παρὰ τὸ γῶ, τὸ χωρῶ καὶ λαμβάνω, γίνεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παράγωγον γύω, ἀφ’ οὗ γύον καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς γύαλον, ὡς πτύω πτύον πτύαλον. ἡ πάντα χωροῦσα καὶ λαμβάνουσα. a.

240* Or. 49, 8: δαιταλεύς · δαὶς δαιτὸς δαιτεύς, ὡς μέλανος μελανεύς, λέοντος λεοντεύς· δαιτεὺς καὶ πλεονασμῷ τοῦ αλ δαιταλεύς. καὶ Δαιταλεῖς δρᾶμα Ἀριστοφάνους, ἐπειδὴ ἐν ἱερῷ Ἡρακλέους δειπνοῦντες καὶ ἀναστάντες χορὸς ἐγένοντο. b. Et. Gen. AB s. v. δαιταλεῖς (unde Et. Sym. cod. V ap. Gaisf. EM 725 D): δαιταλεῖς · ... ὥσπερ παρὰ τὸ μέλας μέλανος γίνεται μελανεὺς καὶ λέων λέοντος λεοντεύς, οὕτως καὶ παρὰ τὸ δαὶς δαιτὸς δαιτεὺς καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς δαιταλεὺς καὶ δαιταλεῖς. Schol.

241* AT ad Δ 472 Erbse: ἐδνοπάλιζεν · δονῶ δονοπίζω, πλεονασμῷ δονοπαλίζω, συγκοπῇ δνοπαλίζω, ὡς πυκτεύω „πυκταλεύω“ (Sophr. fr. 111 Kaibel). Or.

242* 60, 25 in sede Philoxeni (unde Et. Gen. A I B s. v. ἐδωδή = EM 317, 10, Et. Gud. 401, 21 Stef.): ἐδωδή · παρὰ τὸ ἔδω, τὸ ἐσθίω, ἐδὴ καὶ κατὰ ἀναδιπλασιασμὸν ἐδηδὴ καὶ ἐδωδὴ κατὰ τροπὴν τοῦ η εἰς ω. a.

243* Or. 62, 23 in sede Philoxeni, Et. Sym. cod. V ap. Gaisf. EM 991 AB: ἐντροπαλιζόμενος · ὥσπερ φέρω φορῶ παράγωγον, φέβω φοβῶ, ἀφ’ οὗ „οὐδὲ φέβοντο“ (Ε 527), βρέμω βρομῶ, „σταθμῷ ἐνὶ βρομέουσι“ (Π 642), οὕτως τρέπω τροπῶ. ἢ καὶ ἄλλῃ παραγωγῇ· ὡς κομῶ κομίζω, αἰτῶ αἰτίζω, „αἰτίζων ἀκόλους“ (ρ 222), οὕτω καὶ τροπῶ τροπίζω καὶ προσελθούσης τῆς αλ συλλαβῆς τροπαλίζω, „ἐντροπαλιζόμενος ὀλίγον γόνυ γουνὸς ἀμείβων“ (Λ 547). τὸ δὲ τροπαλίζω καὶ χωρὶς τῆς ἐν προθέσεως εἴρηται· „πρὶν δ’ οὔ τι μετατροπαλίζεο φεύγων“ (Υ 190). τοιαῦτα δέ εἰσι ῥήματα καὶ ἀπὸ τῶν εἰς ης ὀνομάτων εἰς ζω παραγόμενα πλεονασμῷ τῆς αλ συλλαβῆς· πύκτης πυκτίζω πυκταλίζω· Ἀνακρέων (PMG 396, fr. 51, 2 Page) „ὡς δὴ πρὸς Ἔρωτα πυκταλίζω“. καὶ Σώφρων φησὶν (fr. 111 Kaibel) ἀπὸ τοῦ πυκτεύω „πυκταλεύω“. b. Et. Gen. A I B s. v. ἐντροπαλιζόμενος (unde EM 345, 32): ἐντροπαλιζόμενος · ... ἐκ τοῦ τρέπω τροπῶ τροπίζω καὶ κατὰ πρόσθεσιν τῆς αλ συλλαβῆς μετὰ τῆς ἐν προθέσεως γίνεται ἐντροπαλίζω καὶ ἐντροπαλιζόμενος. εἴρηται δὲ καὶ χωρὶς τῆς ἐν προθέσεως· „πρὶν δ’ οὔ τι μετατροπαλίζεο φεύγων“ (Υ 190). τοιαῦτα δέ εἰσιν ῥήματα εἰς ζω λήγοντα ἀπὸ τῶν εἰς ης παραγόμενα κατὰ πλεονασμὸν τῆς αλ συλλαβῆς, οἷον πύκτης πυκτίζω πυκταλίζω· Ἀνακρέων, οἷον „ὡς ἤδη πρὸς Ἔρωτα πυκταλίζω“. καὶ Σώφρων φησὶν ἀπὸ τοῦ πυκτεύω „πυκταλεύω“. Or.

244* 62, 19 in sede Philoxeni (unde Et. Gen. B s. v. Ἐνυάλιος, gl. om. A = EM 345, 56): Ἐνυάλιος · παρὰ τὴν Ἐνυὼ δαίμονα, ἥτις ἐστὶ προστάτις τοῦ πολέμου, κτητικὸς τύπος γέγονεν Ἐνυὼ ἐνύϊος καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς Ἐνυάλιος. Or.

245* 70, 19, Et. Sym. cod. V ap. Gaisf. EM 1196AB: ἠγηλάζει (ρ 217)· ὡς ἀκούω ἀκουάζω, κύπτω κυπτάζω, οὕτως ἄγω ἀγάζω καὶ πλεονασμῷ τῆς αλ ἀγαλάζω καὶ Ἰωνικῇ τροπῇ τοῦ α εἰς η ἠγηλάζω. a.

246 Or. 80, 1: ἰδάλιμος · ἶδος· τούτου παράγωγον ἴδιμος, προσθέσει τοῦ αλ ἰδάλιμος. οὕτω Φιλόξενος. b. Et. Gen. AB s. v. ἰδαλίμου (unde EM 465, 18, Et. Gud. 270, 15 St.)· ἰδάλιμος · ... ἔστι ῥῆμα ἰδίω τὸ σημαῖνον τὸ ἱδρῶ· „ἴδιον, ὡς ἐνόησα“ (υ 204)· ἐκ τούτου γίνεται ἴδιμος καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἰδάλιμος. Ὠρίων. a.

247* Or. 87, 15 in sede Philoxeni: κάγκανα · ξηρά, εἰς καῦσιν ἐπιτήδεια ξύλα. παρὰ τὸ καίω ῥηματικὸν ὄνομα κάνον, {ὥστε} καὶ ὡς 〈τέκω〉 τέκανον καὶ συγκοπῇ τέκνον, οὕτω καίω κάνον καὶ ἀναδιπλασιασμῷ κάκανον καὶ πλεονάσαντος τοῦ γ κάγκανον. b. Et. Gen. AB s. v. κάγκανα (unde EM 482, 34): κάγκανα · τὰ ξηρὰ ξύλα καὶ εἰς καῦσιν ἐπιτήδεια ... ἢ ὥσπερ ἀπὸ τοῦ τέκω γίνεται τέκανον καὶ κατὰ συγκοπὴν τέκνον, οὕτως καὶ παρὰ τὸ καίω γίνεται ῥηματικὸν ὄνομα κάνον καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμῷ τοῦ γ κάγκανον. a.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

248* Or. 80, 10: καγχαλᾶν · διπλασιασμῷ καὶ πλεονασμῷ τοῦ γ ἐκ τοῦ χῶ χαλῶ καὶ καχαλῶ καγχαλῶ. παρὰ τὸ ἐν χαλάσματι εἶναι τὴν ψυχὴν χαίρουσαν, εἴ γε τὸ ἐναντίον ἐν τῇ λύπῃ συνέσταλται, ἔνθεν τὸ ἄχεσθαι, παρὰ τὸ μὴ διαχεῖσθαι. b. Et. Gen. AB s. v. καγχαλᾶν (unde Et. Sym. cod. V ap. Gaisf. EM 1383 EF): καγχαλᾶν · χαίρειν. ὡς παρὰ τὸ χῶ γίνεται κατὰ παραγωγὴν χαίρω, οὕτως καὶ παρὰ τὸ χῶ χλῶ καὶ κατὰ παραγωγὴν χαλῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμῷ τοῦ γ γίνεται χαγχαλῶ καὶ τροπῇ τοῦ χ εἰς κ καγχαλῶ· διὰ τὸ ἐν χαλάσμασιν εἶναι τὴν ψυχὴν χαίρουσαν. ἔστι δὲ ὅτε καὶ τὸ ἐν τῇ λύπῃ συστέλλεσθαι σημαίνειν τὴν λέξιν. a.

249* Or. 87, 26 in sede Philoxeni: κακκάβη · ἐπὶ θηλυκοῦ. ἀπὸ τοῦ κάπτω δηλοῦντος τὸ κοιλαίνω· κάπτω κάβη τὸ ῥηματικὸν ὄνομα καὶ ἀναδιπλασιασμῷ κακάβη καὶ πλεονασμῷ τοῦ κ κακκάβη. σκεῦος ὃ πρὸς ἕψησιν ἐπιτήδειον. κάκκαβος ἐπὶ ἀρσενικοῦ. b. Et. Gen. AB s. v. κακκάβη (ex Orione), unde EM 485, 1: κακκάβη · σκεῦος πρὸς ἕψησιν ἐπιτήδειον. παρὰ τὸ κάπτω ῥῆμα τὸ δηλοῦν τὸ κοιλαίνω, ἀφ’ οὗ ῥηματικὸν ὄνομα κάβη καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμῷ τοῦ κ κακκάβη. ἀναλογώτερον δὲ θέλουσι λέγειν ἡ κάκκαβος θηλυκόν· τὸ γὰρ ἀρσενικὸν ὁ κάκκαβος παντελῶς ἀδόκιμον. οὕτως Ὠρίων. Et.

250* Gen. AB s. v. καρπαλίμως (unde Et. Sym. cod. V ap. Gaisf. EM 1409 CD): καρπαλίμως · … ὡς παρὰ τὸ γόνος γίνεται γόνιμος καὶ πομπὸς πόμπιμος, οὕτως καὶ παρὰ τὸ κάπω, τὸ πνέω, ἐξ οὗ τὸ καπύω, οἷον „ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε“ (Χ 467), γίνεται κάπος, τὸ πνεῦμα, καὶ πλεονασμῷ τοῦ ν καπνός, ὡς σέβω σεμνός, τέρπω τερπνός· εἶτα μετὰ πλεονασμοῦ τοῦ ρ γίνεται καρπνός, ὅπερ καθ’ ὑπέρθεσιν τοῦ ρ καὶ πλεονασμὸν τοῦ ι κραιπνὸς γίνεται, ὃ σημαίνει τὸν ταχύν. ἀπὸ γοῦν τοῦ καρπνὸς καὶ κάρπνιμος, ὡς ἀπὸ τοῦ ἀγωγὸς ἀγώγιμος, ἀποβολῇ τοῦ ν καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς καρπάλιμος· καὶ καρπαλίμως ἐξ αὐτοῦ τὸ ἐπίρρημα. a.

251* Or. 87, 22 in sede Philoxeni: καρχαρόδους · παρὰ τὸ χαράσσω. ὁ κεχαραγμένους ἔχων τοὺς ὀδόντας, οἷον ὠξυμμένους. b. Et. Gen. AB s. v. καρχαρόδους (unde EM 493, 2; Et. Sym. cod. V ap. Gaisf. EM 1411 A): καρχαρόδους · ὁ κεχαραγμένους ἔχων τοὺς ὀδόντας … εἴρηται παρὰ τὸ χαράσσω ῥῆμα, ὅπερ ἐν συνθέσει μετὰ τοῦ ὀδοὺς γίνεται χαρόδους καὶ κατὰ ἀναδιπλασιασμὸν χαρχαρόδους καὶ καρχαρόδους. Et.

252* Gen. AB s. v. κικλήσκω (ex Orione), unde EM 513, 38: κικλήσκω · ἀπὸ τοῦ κλῶ τοῦ σημαίνοντος τὸ καλῶ γίνεται κλήσκω καὶ κατὰ ἀναδιπλασιασμὸν κικλήσκω, ὡς τρώσω τιτρώσκω. a.

253* Or. 88, 9 in sede Philoxeni: κοάλεμος · παρὰ τὸ κοῶ ῥῆμα, τὸ νοῶ. κοῶ οὖν κόεμος παράγωγον, ὡς ἔχω ἔχεμος, καὶ πλεονασμῷ τοῦ αλ κοάλεμος εἴρηται, ὁ μωρός. b. Et. Gen. AB s. v. κοάλεμος (unde EM 524, 21): κοάλεμος · ὁ μωρός. ὡς παρ’ Ἀριστοφάνει ἐν Ἱππεῦσιν (198), οἷον „κοάλεμον αἱματοπώτην“. παρὰ τὸ κοῶ ῥῆμα δηλοῦν τὸ νοῶ, οἷον „ἡ δ’ ἐκόησεν, οὕνεκεν γένος ἔσκεν“ Καλλίμαχος (fr. 232 Pf.), γέγονε ῥηματικὸν ὄνομα κόεμος, ὡς ἔχω ἔχεμος, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς κοάλεμος. Et.

254* Gen. AB s. v. κονίσαλος (ex Orione), unde EM 528, 52, Et. Sym. cod. V ap. Gaisf. EM 1508 B: κονίσαλος · … ἢ παρὰ τὸν κονίσω μέλλοντα γίνεται κονίσαλος, ὡς καὶ παρὰ τὸν ἵξω ἵξαλος. Et.

255* Gen. AB s. v. κύδιμος (ex Orione), unde EM 543, 31: κυδάλιμος · ἀπὸ τοῦ κῦδος γίνεται κύδιμος, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς κυδάλιμος. Et.

256* Gen. AB s. v. μάσσω (unde EM *574, 153; Et. Sym. cod. V ap. Gaisf. EM 1634 B): μάσσω · τὸ μαλάσσω καὶ σπογγίζω. ἀπὸ τοῦ μα καὶ τοῦ ἆσσον, τὸ ἐγγύς· οἱ γὰρ ἐφαπτόμενοι 〈τοῦ〉 σπογγίζειν ἆσσον καὶ ἐγγὺς ἔρχονται. παρὰ τοῦτο τὸ μάσσω πλεονασμῷ τῆς αλ συλλαβῆς μαλάσσω, ὡς κύδιμος κυδάλιμος. Or.

257*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

104, 15 in sede Philoxeni (unde Et. Gud. 381, 42 St. et cod. z p. 302, EM *574, 195. 199): μασχάλη · παρὰ τὸ σχῶ σχήσω σχήλη, ὡς στήσω στήλη, καὶ μεταθέσει τοῦ η εἰς α σχάλη, καὶ κατὰ ἀναδιπλασιασμὸν τῆς μα συλλαβῆς μασχάλη· ἡ λίαν κατέχουσα ἅτινα ἂν σχῇ. Or.

258* 104, 23 in sede Philoxeni (unde Et. Gud. cod. z p. 303, EM *574, 303): μάχλος · παρὰ τὸ χαλῶ 〈χαλὸς καὶ〉 μαχαλὸς πλεονασμῷ τοῦ μα, καὶ συγκοπῇ μάχλος, ὁ κατωφερής. καὶ παρώνυμον μαχλάς. EM 605, 38: 〈 νηφάλιος 〉 · παρὰ τὸ νήφω ὄνομα ῥηματικὸν νήφιος· καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς νηφάλιος.

260* Or. 122, 19 in sede Philoxeni: ὀπιπεύω · πλεονασμῷ τῆς πι συλλαβῆς· ὄπτω γάρ ἐστιν, ἀφ’ οὗ ὄψομαι, καὶ παράγωγον ὀπτεύω· ἀποβολῇ τοῦ τ ὀπεύω, διπλασιασμῷ ὀπιπεύω. Or.

261 119, 19: ὀρεσκῷος · παρὰ τὸ κῶ τὸ δηλοῦν τὸ κοιμῶμαι, οὗ μέλλων κώσω, ῥηματικὸν ὄνομα κώς, σύνθετον ὀρεσκώς, πλεονασμῷ τοῦ ο 〈μετὰ τοῦ ἀνεκφωνήτου ι〉 ὀρεσκῷος. οὕτω Φιλόξενος. a.

262* Or. 123, 17 in sede Philoxeni: ὀρταλίζειν · ὄρω ἐστὶ βαρύτονον ῥῆμα, ὄνομα ῥηματικὸν ὀρτός. τὸ δὲ ὀρτὸς ῥῆμα ποιεῖ ὀρτίζω, ὡς λόγος λογίζω, Ὅμηρος ὁμηρίζω. τὸ δὲ ὀρτίζω προσελθόντος τοῦ αλ ἐποίησεν ὀρταλίζω. b. Schol. Arist. VEΓ 3 ad Equ. 1344 (II), Et. Gud. 436, 39 St. et cod. z p. 346: ὀρταλίζεις · ὄρω ἐστὶ ῥῆμα βαρύτονον, ἔνθεν τὸ „ὅτε τ’ ὤρετο μητίετα Ζεύσ“ (M 279), ἀφ’ οὗ ὄνομα ῥηματικὸν ὀρτὸς καὶ ὀρτῶ ῥῆμα. τὸ δὲ ὀρτῶ ῥῆμα ποιεῖ τὸ ὀρτίζω, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ὀρταλίζω. δηλοῖ δὲ τὸ ὀρταλίζειν τὸ ἀναρρίπτειν τὰ νήπια τῶν παιδίων, οἷον ὀρούειν ποιεῖν εἰς ὕψος. κατεχρῶντο δὲ τῇ λέξει καὶ ἐπὶ ἄλλης κινήσεως, ἥντινα ἔδει κινεῖσθαι. c. Et. Gen. AB s. v. ὀρταλίζειν (unde EM 634, 13): ὀρταλίζειν · τὸ ῥίπτειν, ὡς Ἀριστοφάνης (Equ. 1344), οἷον „ἀνωρτάλιζες κἀκερουτίασ“, ἀντὶ τοῦ ἀναρρίπτειν ἐποίεις. ἔστιν οὖν παρὰ τὸ ὄρω, τὸ διεγείρω, ὁ παθητικὸς παρακείμενος ὦρμαι ὦρται, ῥηματικὸν ὄνομα ὀρτός, ἀφ’ οὗ περισπώμενον ὀρτῶ καὶ παράγωγον ὀρτίζω καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ὀρταλίζω. δηλοῖ δὲ κυρίως ἡ λέξις τὸ ἀναρρίπτειν τὰ νήπια τῶν παιδίων, οἱονεὶ ὀρούειν εἰς ὕψος. κατεχρῶντο δὲ τῇ λέξει καὶ ἐπὶ τοῦ ἄλλην ἡντιναοῦν ποιεῖσθαι κίνησιν. a.

263* Or. 123, 6 in sede Philoxeni: ὀτραλέως · 〈παρὰ τὸ τρέω, τὸ φοβοῦμαι,〉 ὄνομα ῥηματικὸν τρεερός, ὡς τήκω τακερός, καὶ συναλιφῇ τῶν δύο εε εἰς η τρηρός, μετὰ τοῦ α στερητικοῦ ἀτρηρὸς καὶ τροπῇ τοῦ α εἰς ο ὀτρηρός. ἀπὸ δὲ τούτου ἄλλο παράγωγον ὄνομα ῥηματικὸν τρεής, ὅπερ κατὰ συναλιφὴν καὶ πλεονασμὸν τοῦ ο ὀτρής· ἀφ’ οὗ ἐπίρρημα εἰς ως, ὡς εὐτυχὴς εὐτυχῶς, ὀτρὴς 〈ὀτρῶς καὶ〉 ὀτρέως· καὶ προσελθόντος τοῦ αλ μορίου ὀτραλέως. b. Et. Gen. AB s. v. ὀτραλέως (unde EM 637, 1): ὀτραλέως · ... παρὰ τὸ τρέω, τὸ φοβοῦμαι καὶ σπεύδω, ἐξ οὗ καὶ τὸ ὀτρηρός, ὄνομα ῥηματικὸν γίνεται τρεὴς καὶ κατὰ συναλιφὴν τοῦ ε καὶ η εἰς τὸ αὐτὸ η καὶ πλεονασμῷ τοῦ ο ὀτρής· ἀφ’ οὗ ἐπίρρημα εἰς ως, ὡς εὐτυχὴς εὐτυχῶς, εὐγενὴς εὐγενῶς, οὕτως ὀτρὴς ὀτρῶς καὶ ὀτρέως, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ὀτραλέως. Or.

264 119, 13 (unde Et. Gen. AB s. v. ὄτλος = EM 636, 36): ὄτλος · παρὰ τὸ τλῶ, τὸ κακοπαθῶ, ῥηματικὸν ὄνομα τλὸς καὶ πλεονασμῷ τοῦ ο 〈ὄτλοσ〉. ἢ μετὰ τοῦ ἐπιτατικοῦ α ἄτλος καὶ ὄτλος, ὡς ἀχθήσατο ὀχθήσατο. οὕτω Φιλόξενος. Or.

265* 136, 30 in sede Philoxeni (unde Et. Gen. AB s. v. παιφάσσουσα = EM 658, 14): παιφάσσω · ἔστι ῥῆμα φῶ τὸ δηλοῦν τὸ φαίνω, οὗ παράγωγον φάσσω καὶ κατὰ ἀναδιπλασιασμὸν παφάσσω καὶ προσθέσει τοῦ ι παιφάσσω. Or.

266* 136, 15 in sede Philoxeni (unde Et. Gen. AB s. v. πάππα = EM 651, 5; Et. Gud. 451, 25 St.): πάππα φίλε · εἴρηται Ὁμήρῳ (ζ 57). οὕτω δὲ ἐγένετο· παρὰ Συρακουσίοις ὁ πατὴρ πᾶς καὶ κατὰ ἀναδιπλασιασμὸν πάπας, καὶ πλεονασμῷ τοῦ π πάππας. Or.

267*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

136, 18 in sede Philoxeni (unde Et. Gen. AB s. v. παπταίνω): παπταίνω · ἔστι πέτω ῥῆμα, οὗ παθητικὸν πέτομαι, ὅπερ κατὰ συγκοπὴν γίνεται πτῶ, ἀφ’ οὗ παράγωγον πταίνω, ὡς βῶ βαίνω, καὶ κατὰ ἀναδιπλασιασμὸν παπταίνω. Or.

268* 134, 16 in sede Philoxeni: πάσσαλος · παρὰ τὸ πήσσω. Or.

269* 136, 21 in sede Philoxeni (unde Et. Gen. AB s. v. παφλάζω = EM 656, 46. 49): παφλάζω · παρὰ τὸ φλέω, ὅπερ καὶ φλύω λέγεται· „ἀνὰ δ’ ἔφλυε καλὰ ῥέεθρα“ (Φ 361), δηλοῖ δὲ τὸ ἀναπέμπω καὶ ἀναδίδωμι· καὶ μονοσυλλαβῆσαν φλῶ ἐγένετο, ἀφ’ οὗ παράγωγον φλάζω, ὡς ῥίπτω ῥιπτάζω καὶ ἐνθουσιῶ ἐνθουσιάζω, καὶ κατὰ ἀναδιπλασιασμὸν παφλάζω. a.

270* Or. 135, 35 πεπάλη · πάσω πάλη καὶ ἀναδιπλασιασμῷ πεπάλη. b. Et. Gen. AB s. v. πεπάλη (ex Orione), unde EM 661, 10: πεπάλη · τὸ λεπτὸν τοῦ ἀλεύρου, ὅπερ δύναται ἐπιπάσσεσθαι διὰ τὴν λεπτότητα. παρὰ τὸν πάσω μέλλοντα πάλη, ὡς δαμάσω δαμάλη, ἀνθήσω ἀνθήλη· καὶ γὰρ ὁ εἰς σω μέλλων τὴν σω συλλαβὴν τρέπει εἰς λη· εἰ δὲ ἔχει διπλοῦν, προσέρχεται τὸ γ, οἷον ζεύξω ζεύγλη, τρώξω τρώγλη. οὕτως οὖν καὶ πάσω πάλη καὶ κατὰ ἀναδιπλασιασμὸν παπάλη καὶ τροπῇ τοῦ α εἰς ε πεπάλη. οἱ δὲ Ἀττικοὶ πασπάλη λέγουσι κατὰ πλεονασμὸν τοῦ ς. Or.

271 135, 9 (unde Et. Gen. A s. v. πιφαύσκω [gl. om. B] = EM 673, 52): πιφαύσκω · ... ὁ δὲ Φιλόξενος παρὰ τὸ φῶ παράγωγον φαύω, ὁ μέλλων φαύσω καὶ πλεονασμῷ τοῦ κ φαύσκω καὶ κατὰ ἀναδιπλασιασμὸν πιφαύσκω. Or.

272* 136, 9 in sede Philoxeni (unde Et. Gen. AB s. v. πολυκαγκής = EM 681, 39): πολυκαγκέα δίψαν (Λ 642)· παρὰ τὸ κῶ, τὸ καίω, οὗ παράγωγον κείω, οἷον „πῦρ μέγα κειάμενοσ“ (ψ 51)· ἐκ τοῦ οὖν κῶ γίνεται πολυκὴς καὶ κατὰ ἀναδιπλασιασμὸν πολυκακὴς καὶ πλεονασμῷ τοῦ γ πολυκαγκής. a.

273* Or. 149, 26 in sede Philoxeni: σταλαγμός · στῶ ἔστι ῥῆμα, οὗ παράγωγον στάσσω, οὗ 〈ὁ〉 μέλλων στάξω 〈 *** 〉 καὶ ἐπεισελθόντος τοῦ αλ σταλαγμός. τὸ δὲ στάσσω καὶ αὐτὸ προσλαβὸν τὸ αλ ἐποίησε τὸ σταλάσσω. b. Et. Gen. AB s. v. σταλαγμός (unde EM 724, 51): σταλαγμός · στῶ ῥῆμα, οὗ παράγωγον στάσσω, ὁ μέλλων στάξω· καὶ ὡς φράξω φραγμός, οὕτω στάξω σταγμός, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς σταλαγμός. ἐκ δὲ τοῦ στάσσω γίνεται πλεονασμῷ τῆς αλ συλλαβῆς σταλάσσω. a.

274* Or. 149, 13 in sede Philoxeni: στροφάλιγξ · παρὰ τὸ στρέφω. εἰς ιξ γίνεται παρώνυμα ἀπὸ τῶν εἰς ος· καὶ ὡς φοινὸς φοῖνιξ, λᾶος 〈λᾶϊξ〉 καὶ λᾶϊγξ 〈 *** 〉 καὶ πλεονασμῷ τοῦ γ στρόφιγξ καὶ πάλιν προσελθόντος τοῦ αλ στροφάλιγξ. b. Et. Gen. AB s. v. στροφάλιγξ · ... παρὰ τὸ στρέφω· γίνονται γὰρ τὰ εἰς ιξ ὀνόματα ἀπὸ τῶν εἰς ος, ὡς φοινὸς φοῖνιξ, λᾶος λᾶϊγξ, „λάϊγγας ποτὶ χέρσον“ (ζ 95), οὕτως στρέφω στρόφος στρόφιξ πλεονασμῷ τοῦ γ καὶ τοῦ αλ 〈στροφάλιγξ〉. καὶ στροφαλίζω ἀπὸ τοῦ στρέφω· στροφὴ γάρ ἐστιν ὄνομα· 〈καὶ〉 ὡς καναχὴ καναχίζω, ὀργὴ ὀργίζω, 〈οὕτω〉 καὶ στροφὴ στροφίζω καὶ προσθέσει τοῦ αλ στροφαλίζω· „τῇ δὲ παρ’ ἠλάκατα στροφαλίζετε“ (ς 315). Et.

275* Gen. AB s. v. στυφελίζειν · ... ἀπὸ τοῦ στροφὴ στροφίζω, πλεονασμῷ τῆς αλ συλλαβῆς 〈στροφαλίζω〉, καὶ ἀποβολῇ τοῦ ρ καὶ 〈τροπῇ〉 τοῦ ο εἰς υ στυφελίζω, ὡς ὄνομα ὄνυμα. Or.

276* 154, 13 in sede Philoxeni (unde Et. Gen. AB s. v. ταινίαι [ταινία B] = EM 749, 37): ταινία · παρὰ τὸ ταίνω ῥῆμα, ὃ κατὰ ἀναδιπλασιασμὸν γίνεται τιταίνω. Or.

277* 154, 2 in sede Philoxeni (unde Et. Gen. AB s. v. τάλαντον = EM 744, 4; Et. Gud. 521, 4 St.): τάλαντον · τὸν ζυγόν. παρὰ τὸ ταίνω ῥῆμα, ὅπερ κατὰ ἀναδιπλασιασμὸν γίνεται τιταίνω. καὶ ὡς φαίνω φαντὸς καὶ ἄφαντος καὶ χραίνω χραντὸς καὶ ἄχραντος, οὕτω ταίνω ταντὸς καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδέτερον ταντόν, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς τάλαντον καὶ ἐν συνθέσει ἀτάλαντον, ἀντὶ τοῦ ὁμοτάλαντον. Et. [5]

278* Sym. cod. V ap. Gaisf. EM 2093 A: 〈 ταλαόν 〉· τλῶ τλὸς καὶ μετὰ πλεονασμοῦ τῆς αλ ταλαὸς καὶ ταλαόν. Et.

279* Gen. A s. v. τάλαρος (unde EM 744, 56): τάλαρος · ... ἢ ἀπὸ τοῦ τηρὸς ταρός, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς τάλαρος, ὁ εἰς τυρὸν ἐπιτήδειος. a.

280* Et. Gen. AB s. v. τιταίνεται (unde EM 760, 44; Et. Sym. cod. V ap. Gaisf. EM 2133 E): τιταίνεται · ... παρὰ τὸ ταίνω, κατὰ ἀναδιπλασιασμὸν τιταίνω. b. Et. Gen. A s. v. τιταίνω (gl. om. B): τιταίνω · ... ἀπὸ τοῦ ταίνω καὶ τιταίνω. Et. [5]

281* Gen. AB s. v. τιτρώσκω (unde EM 760, 50): τιτρώσκω · 〈τρῶ〉 τρώω τρώσω τρώσκω, καὶ κατὰ ἀναδιπλασιασμὸν τιτρώσκω. Et.

282* Gen. AB s. v. τροφαλίς, Et. Gud. 536, 13 St.: τροφαλίς · ... παρὰ τὸ τρέφω, τὸ πήσσω· καὶ ὡς λέπω λεπὶς καὶ ἔλπω ἐλπίς, κρέκω κρεκὶς καὶ κερκίς, οὕτω παρὰ τὸ τρέφω τρεφὶς καὶ πλεονασμῷ τῆς αλ τρεφαλίς, τροπῇ τοῦ ε εἰς ο τροφαλίς. τρέφω τρεφαλὶς καὶ τροφαλίς. Et.

283* Gen. AB s. v. φυταλίζει (unde EM 803, 7; Et. Sym. cod. V ap. Gaisf. EM 2243 E): φυταλίζει · ... παρὰ τὸ φυτόν ... ἐξ οὗ φυτῶ φυτίζω, καὶ πλεονασμῷ τῆς αλ 〈συλλαβῆσ〉 φυταλίζω. Et.

284* Gen. AB s. v. φυτάλιμος (unde EM 803, 4): φυτάλμιος · 〈παρὰ τὸ〉 φυτὸν φύτιμος· καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς φυτάλιμος καὶ φυτάλμιος. Σοφοκλῆς (fr. 720 N. 2 = 788 P.) „προσῆλθε μητρὶ καὶ φυταλμίῳ πατρί“. πολλάκις καὶ τροπῇ γίνεται τοῦ υ εἰς ι φιτάλιμος. E LIBRO ΠΕΡΙ ΜΕΤΡΩΝ Longini Proleg.

285 ad Hephaest. Enchiridion p. 81, 12 Consbruch: τοῦ δὲ περὶ μέτρων λόγου πολλοὶ πολλαχῶς ἤρξαντο, οἱ μὲν ἀπὸ στοιχείων, ὡς Φιλόξενος , οἱ δὲ ἀπὸ τοῦ μέτρων ὅρου, ὡς Ἡλιόδωρος· ἡμεῖς δὲ Ἡφαιστίωνι κατακολουθήσομεν ἀπὸ συλλαβῆς ἀρξάμενοι. Atilii Fortunatiani Ars, Gramm.

287 Lat. VI p. 302, 13 Keil: Cetera quae sequuntur eadem metra sunt, de quibus iam dictum est. in secundo libro metrum novum est (Horat. Carm. II 18, 1—2) „non ebur neque aureum mea renidet in domo lacunar“. hoc semel omnino usus Horatius, Alcaeus frequenter. ab iambico natum est: nam si reddas huic partem suam, integrum trimetrum facias sic: „beatus ille non ebur neque aureum“. Philoxenus ait hoc heptasyllabon choriacon vocari et esse dimetron catalecticon Euripidion. ille inquit sic (Phoen. 239): „νῦν δέ μοι πρὸς τειχέων“. reliquum in Euripide attendendum . ΠΕΡΙ ΕΛΛΗΝΙΣΜΟΥ a. [5]

288 Or. 21, 24 (unde Et. Gud. 68, 13 Stef.): ἀκόλαστος · κυρίως ὁ ἀπαίδευτος, διὰ τὸ μὴ ἀγωγῆς καὶ κολάσεως τετυχηκέναι τῆς ἐπιτηδείας. οὕτω Φιλόξενος ἐν τῷ Περὶ Ἑλληνισμοῦ. b. Et. Gen. B s. v. ἀκόλαστος (unde EM 50, 17): ἀκόλαστος · κυρίως ὁ ἀπαίδευτος· παρὰ τὸ μὴ κολάσεως τετυχηκέναι, τουτέστι παιδείας. Or. [5]

289 90, 8 (unde Et. Gen. AB s. v. κρούω = EM 541, 40, cf. Reitz., Gesch. p. 382): κρούειν · κυρίως ἐπὶ τῶν κερατοφόρων εἴρηται· κερούειν γάρ ἐστι τὸ τοῖς κέρασι παίειν, καὶ κατὰ συγκοπὴν κρούειν. οὕτω Φιλόξενος ἐν τῷ Περὶ Ἑλληνισμοῦ. ΠΕΡΙ ΤΗΣ ΙΑΔΟΣ ΔΙΑΛΕΚΤΟΥ a.

290 Et. Gud. 250, 13 St., cod. d fol. 81 v et cod. z p. 217 (vide etiam Gaisf. EM 1254 DE): ἦτορ · Φιλόξενος ἐν τῷ Περὶ τῆς Ἰάδος διαλέκτου οὕτως ἐτυμολογεῖ τὸ ἦτορ. ἆτόρ ἐστι, φησί, τὸ ὂν ἄτρεπτον· παρὰ γὰρ τὸν τείρω ἐνεστῶτα μέλλων γίνεται τερῶ, ὡς κείρω κερῶ· τοῦ δὲ ω σιγηθέντος ῥηματικὸν ὄνομα γίνεται τὲρ καὶ τὸρ μονοσύλλαβον, {καὶ} ὥσπερ 〈παρὰ〉 τὸ φέρω φὲρ καὶ φὸρ καὶ ἐπεκτάσει τοῦ ο εἰς ω φώρ, ὁ ληστής, ὁ τὰ ἀλλότρια φέρων. τὲρ οὖν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸρ καὶ μετὰ τοῦ στερητικοῦ α ἆτορ καὶ ἦτορ· ὥστε κυρίως ἐπὶ τῆς ἀφόβου ψυχῆς, καταχρηστικῶς δὲ ἐπὶ πάσης ψυχῆς. b. Et. Gen. AB s. v. ἦτορ (ex Orione), unde EM 439, 18, Et. Sym. cod. V ap. Gaisf. EM 1254 D: ἦτορ · ... ὁ δὲ Ὠρίων καὶ τοῦτο καὶ ἄλλως. ὥσπερ παρὰ τὸ φέρω γίνεται φόρ, καὶ ἐπεκτάσει τοῦ ο εἰς ω φώρ, ὁ ληστὴς καὶ ὁ κλέπτης, ὁ τὰ ἀλλότρια φέρων, οὕτως καὶ παρὰ τὸν τείρω ἐνεστῶτα τὸν σημαίνοντα τὸ καταπονῶ ὁ μέλλων τερῶ, ὡς κείρω κερῶ, γέγονε ῥηματικὸν ὄνομα κατὰ ἀποβολὴν τοῦ ω τὲρ καὶ τὸρ μονοσύλλαβον· καὶ μετὰ τοῦ στερητικοῦ α ἆτορ καὶ τροπῇ ἦτορ· ὥστε κυρίως ἐπὶ τῆς ἀφόβου ψυχῆς καὶ μὴ ὑποδεχομένης τρῶσιν τετάχθαι. a.

291 Or. 78, 3: ἱστία · παρὰ τὸ ἵζω· ἡ δὲ ἑστία παρὰ τὸ ἕζω. τοῦ δὲ ἵζω ὁ μέλλων ἵσω καὶ ῥηματικὸν ὄνομα ἱστὸς καὶ ἱστία. οὕτω Φιλόξενος ἐν τῷ Περὶ τῆς Ἰάδος διαλέκτου. b. Et. Gen. AB s. v. ἱστία (unde EM 478, 24): ἱστία · ... παρὰ τὸ ἵζειν ἐφ’ ἑνὸς τόπου καὶ ἱδρῦσθαι. ἵζω, ὁ μέλλων ἵσω, ῥηματικὸν ὄνομα ἱστὸς καὶ ἱστία. Et.

292 Gen. AB s. v. κορυφή (unde EM 531, 13, cf. Et. Sym. cod. V ap. Gaisf. EM 1515 F): κορυφή · ... ὁ δὲ Φιλόξενος ἐν τῷ Περὶ Ἰάδος διαλέκτου λέγει, ὅτι παρὰ τὸ κάρη γέγονε καρύπτω καὶ κορύπτω μεταθέσει τοῦ α εἰς ο, ὡς παρὰ Θεοκρίτῳ (3, 5), οἷον „τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο, μή τι κορύψῃ“. ἐκ τοῦ οὖν κορύπτω γέγονεν ὄνομα ῥηματικὸν κορυφή. a.

293 Or. 87, 1: κόσμος · τροπῇ τοῦ α εἰς ο. παρὰ τὸ κάζω ῥῆμα, ὅθεν κέκασμαι κέκασται κεκασμένος, ὄνομα ῥηματικὸν κασμός, καὶ μεταθέσει τοῦ α εἰς ο καὶ ἐναλλαγὴ τοῦ τόνου κόσμος. ἐπὶ δὲ τοῦ παντὸς εἴρηται· ὁ ἐν αὑτῷ πάντα ἔχων κεκοσμημένα. οὕτω Φιλόξενος ἐν τῷ Περὶ Ἰάδος διαλέκτου. b. Et. Gen. AB s. v. κόσμος (unde EM 532, 10. 12): κόσμος · ... ἢ παρὰ τὸ κάζω κάσω κέκασμαι κασμὸς ῥηματικὸν ὄνομα καὶ μεταθέσει τοῦ α εἰς ο καὶ ἐναλλαγῇ τοῦ τόνου κόσμος. οὕτως Φιλόξενος. a.

294 Et. Gen. AB s. v. κρόσας (ex Orione), unde EM 540, 40: κρόσσας (M 258)· οἱ μέν φασι κεφαλίδας τοῦ τείχους σημαίνειν, ἄλλοι δὲ τοὺς προμαχῶνας. Ἀρίσταρχος δὲ κλίμακάς τινας ἢ ὄργανά τινα πρὸς τειχομαχίαν ἐπιτήδεια, οἷον καὶ τὰς „προκρόσσας“ (Ξ 35) κλιμακηδόν· ἄλλοι δὲ τὰ ἀποκρηπιδώματα· καὶ γὰρ κροσσοὺς τὰ ἄκρα τῶν ἱματίων λέγομεν· ὃ καὶ βέλτιον, οἱονεὶ κορσούς τινας ὄντας· παρὰ τὴν κόρσην, τὴν κεφαλήν, ἡ μεταφορὰ ἀπὸ τῶν πλοκάμων, κατὰ μετάθεσιν τοῦ ρ κρόσσας. οὕτω Φιλόξενος ἐν τῷ Περὶ Ἰάδος διαλέκτου. τὸ δὲ τῆς κλίμακος ὄνομα οὐ γινώσκει Ὅμηρος· οὐδέπω γὰρ ἦν τὰ πολεμικὰ ὄργανα. καὶ ταῦτα μὲν ὁ Ὠρίων. b. Or. 86, 34 in sede Philoxeni: κροσσοί · κορσοί τινες ὄντες· κατὰ μετάθεσιν τοῦ ρ. παρὰ τὴν κόρσην, τὴν κεφαλήν· ἀπὸ τῶν πλοκάμων. Or.

295 95, 18; EM 555, 46: λάλλαι · αἱ ψῆφοι αἱ παραθαλάσσιαι. ἐκ τοῦ λαλῶ γίνεται ῥηματικὸν ὄνομα λάλη, καὶ πλεονασμῷ τοῦ λ λάλλη. λάλλαι δέ εἰσιν αἱ ψῆφοι αἱ παραθαλάσσιαι, αἱ ὑπὸ τῶν κυμάτων κινούμεναι καὶ ψόφον τινὰ ἀποτελοῦσαι. οὕτως ὁ αὐτὸς ἐν τῷ αὐτῷ βιβλίῳ. Or.

296 95, 12 (unde Et. Gud. 361, 31 St. et cod. z p. 286): λαλῶ · λῶ, ἀναδιπλασιασμὸς λαλῶ. παράγωγον τοῦ λῶ λάσω καὶ λάσκω. Εὐριπίδης (Andr. 671)· „τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλουσ“. τὸ δὲ λῶ δηλοῖ τὸ θέλω· ὃ δὲ θέλει τις καὶ φθέγγεται· προϋπάρχει γὰρ τοῦ λόγου ἡ ψυχικὴ διάθεσις. οὕτω Φιλόξενος ἐν τῷ Περὶ τῆς Ἰάδος διαλέκτου. Or.

297 103, 19 (unde Et. Gen. AB s. v. μείς = EM 583, 10): μείς · ὡς παρὰ τὸ ῥήσσω γίνεται ῥηγμίς, οὕτω καὶ παρὰ τὸ μειῶ μεῒς δισύλλαβον ἐσχημάτισται μακρῶς τε ἅμα καὶ ὀξυτόνως. παρὰ τὸ μειῶ δὲ εἴρηται, ὅτι μειουμένης εἰς ἄκρον τῆς σελήνης πληροῦται ὁ μήν. οὕτω Φιλόξενος ἐν τῷ Περὶ Ἰάδος διαλέκτου. a.

298 Or. 103, 24: μήν · παρὰ τὸ μεῖος. ὁ αὐτὸς ἀνὴρ οὕτω φησί. μεῖος μειήν· καὶ συγκοπῇ μήν· ἀφ’ οὗ καὶ ἡ μήνη. b. Et. Gen. AB s. v. μήν (unde EM 586, 39): μήν · ὡς παρὰ τὸ Κέφαλος γίνεται

Κεφαλήν, κῶλος κωλήν, μέγιστος μεγιστὴν καὶ μεγιστάν, οὕτως καὶ παρὰ τὸ μεῖος μειὴν καὶ κατὰ συγκοπὴν μήν· ἀφ’ οὗ καὶ μήνη, ἡ σελήνη. a.

299 Et. Gen. AB s. v. μιαρόν (ex Orione), unde EM 587, 15: μιαρόν · παρὰ τὸ μιαίνω. ἢ παρὰ τὸ μία γέγονε παρώνυμον μιαρόν, ὡς σκιὰ σκιαρόν, οἱονεὶ τὸ μεμονωμένον, ᾧ οὐκ ἄν τις ἐπὶ τὸ αὐτὸ συνέλθοι διὰ τὸ μύσος. Φιλόξενος ἐν τῷ Περὶ Ἰάδος διαλέκτου. b. Or. 103, 17 in sede Philoxeni: μιαρός · παρὰ τὸ μίασμα καὶ μιαίνω ῥῆμα. τὸ δὲ μιαρὸς παρώνυμον. a.

300 Et. Gen. AB s. v. οἰήϊον (unde EM 616, 45; Et. Sym. cod. V ap. Gaisf. EM 1750 BC): οἰήϊον · τὸ πηδάλιον τῆς νηός, ἀφ’ οὗ φέρεται ἡ ναῦς. παρὰ τὸ οἴω, τὸ κομίζω καὶ φέρω, ὁ μέλλων οἴσω καὶ ἐξ αὐτοῦ οἴσιον, ἀποβολῇ τοῦ ς οἴϊον, καὶ πλεονασμῷ τοῦ η οἰήϊον καὶ οἰήϊα. οὕτω Φιλόξενος Περὶ Ἰάδος διαλέκτου. b. Or. 115, 11: οἰήϊον · τὸ πηδάλιον, δι’ οὗ φέρεται ἡ ναῦς. οἴω, τὸ φέρω, οἴσω 〈 *** 〉. a.

301 Or. 121, 21: ὀρρωδῶ · τὸ φοβοῦμαι. ῥῶ ἐστι ῥῆμα, ἀφ’ οὗ τὸ ἔρρωμαι, παράγωγον ῥώζω, καὶ μεταθέσει τοῦ ζ εἰς δ ῥωδῶ, ὡς μύζω μυδῶ, χάζω χαδῶ, ἔνθεν τὸ „κεχανδότα“ (ψ 268) πλεονασμῷ τοῦ ν. ῥώζω οὖν ῥωδῶ καὶ μετὰ τῆς α στερήσεως ἀρρωδῶ, καὶ μεταθέσει τοῦ α εἰς ο ὀρρωδῶ, τὸ μὴ ἐρρῶσθαι τὴν ψυχὴν ἀπὸ τοῦ φόβου. καὶ Ἡρόδοτος ἀρρωδῶ λέγει ἐν τῇ πρώτῃ (9, 1)· „καὶ ἀπεμάχετο ἀρρωδέων“. οὕτω Φιλόξενος ἐν τῷ Περὶ Ἰάδος διαλέκτου. b. Et. Gen. AB s. v. ὀρρωδῶ · τὸ φοβοῦμαι. παρὰ τὸ ῥῶ, τὸ ὑγιάζω, ἐξ οὗ καὶ ἔρρωμαι, παράγωγον ῥώζω καὶ μεταθέσει τοῦ ζ εἰς δ 〈ῥωδῶ〉, ὡς μύζω μυδῶ καὶ χάζω χαδῶ, ἔνθεν τὸ „κεχανδότα“ (ψ 268) πλεονασμῷ τοῦ ν, καὶ ἐρίζω ἐριδῶ, ἔνθεν τὸ „ἐριδήσασθαι Ἀχαιοῖσ“ (ψ 792). ῥωδῶ οὖν καὶ μετὰ τοῦ στερητικοῦ α ἀρρωδῶ, ὡς παρ’ Ἡροδότῳ (1, 9, 1) „τὴν ψυχὴν ἀπεμάχετο ἀρρωδέων“, καὶ τροπῇ τοῦ α εἰς ο ὀρρωδῶ· τὸ μὴ ἐρρῶσθαι τὴν ψυχὴν ἀπὸ φόβου. οὕτως Φιλόξενος ἐν τῷ Περὶ Ἰάδος διαλέκτου. Or.

302 121, 4 (unde Et. Gen. AB s. v. ὀχθήσας = EM 645, 24): ὀχθήσας · τροπῇ τοῦ α εἰς ο. παρὰ τὸ ἄχθω βαρύτονον, ἀφ’ οὗ περισπώμενον ἀχθῶ, ἐξ οὗ καὶ τὸ ἤχθημαι καὶ ἀπήχθημαι καὶ ἠχθέσθην. ἀχθήσας οὖν καὶ ὀχθήσας κατὰ τροπὴν τοῦ α εἰς ο, ἀντὶ τοῦ ἀχθεσθείς. οὕτω Φιλόξενος ἐν τῷ Περὶ Ἰάδος διαλέκτου. Or.

303 153, 19: τόξον · τάζω ἐστὶ ῥῆμα, ἀφ’ οὗ ἔταγον δεύτερος ἀόριστος καὶ ταγὼν μετοχὴ καὶ κατὰ ἀναδιπλασιασμὸν τεταγών, ὡς πείθω 〈ἔπιθον〉 πιθὼν καὶ πεπιθών. παρὰ τὸ τάζω οὖν καὶ τάξω μέλλων τάξον ἐστὶ καὶ τόξον, τροπῇ τοῦ α εἰς ο. Φιλόξενος ἐν τῷ Περὶ Ἰάδος διαλέκτου. Or.

304 153, 11 (unde Et. Gen. AB s. v. τρίβακος = EM 765, 48): τρίβακος · τριβὴ τρίβαξ παρώνυμον, καὶ ἡ γενικὴ εὐθεῖα γίνεται πολλάκις, ὡς φύλαξ φύλακος καὶ ὁ φύλακος· κόχλος κόχλαξ, ἱερὸς ἱέραξ, ῥόος ῥόαξ, καὶ μεταθέσει τοῦ ο εἰς υ ῥύαξ. οὕτω Φιλόξενος ἐν τῷ Περὶ τῆς Ἰάδος διαλέκτου. E LIBRO ΠΕΡΙ ΙΑΔΟΣ ΔΙΑΛΕΚΤΟΥ a.

305* Or. 86, 32 in sede Philoxeni: κόρυς · παρὰ τὸ κάρη ἢ τὸ κάρηνον ἀποκοπῇ τοῦ 〈νον〉 κάρυς τίς ἐστι καὶ κόρυς, τροπῇ τοῦ α εἰς ο. b. Et. Gen. AB s. v. κόρυς (unde EM 531, 35): κόρυς · ἡ περικεφαλαία. παρὰ τὸ κάρη κάρυς καὶ τροπῇ τοῦ α εἰς ο κόρυς. ἢ παρὰ τὸ κόρση γέγονε κόρυς· κόρση δὲ ἡ κεφαλή. καὶ τὸ κορσοῦσθαι δὲ ἐπὶ τοῦ κείρειν ἔλεγον οἱ Ἴωνες καὶ κορσωτῆρα τὸν κουρέα. Or.

306 91, 19; EM 570, 30: λόχμη · ... ὁ δὲ Φιλόξενος οὕτω· παρὰ τὸ λάζω ῥῆμα, εὐληπτοτέρων ὄντων τῶν δασέων. λάζω οὖν, ὁ μέλλων λάξω, ὄνομα λαγμός, ὡς παρὰ τὸ κράζω κράξω κραγμός. τοῦ δὲ γ εἰς τὸ χ μεταπεσόντος λαχμὸς 〈καὶ τροπῇ τοῦ α εἰς ο λοχμός〉 · τούτου τὸ θηλυκὸν λόχμη. Or.

307*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

121, 19 in sede Philoxeni: ὄρχαμος · τροπῇ τοῦ α εἰς ο. ἀρχὸς ἄρχαμος, ὡς πλόκος πλόκαμος, πύρρος πύρραμος 〈καὶ τροπῇ τοῦ α εἰς ο ὄρχαμοσ〉. a.

308 Or. 121, 9: ὀτρηρός · Φιλόξενος ἀπὸ τοῦ τρέω, τὸ φοβοῦμαι, οὗ ὄνομα ῥηματικὸν τρεερός, ὡς φαίνω φανερὸς καὶ τήκω τακερός· τῶν δὲ δύο εε συνελθόντων εἰς η τρηρὸς ἐγένετο, ὁ δειλός, οὗ παρώνυμον τρήρων. τῆς δὲ α στερήσεως συνελθούσης καὶ αὐτῆς εἰς ο μεταβληθείσης ἐγένετο ὀτρηρός, ὁ δραστικὸς καὶ ἐρρωμένος καὶ σπουδαῖος. b. Et. Gen. AB s. v. ὀτρηρός (unde EM 637, 16): ὀτρηρός · ... ὁ δὲ Φιλόξενος λέγει, ὅτι παρὰ τὸ τρῶ, τὸ φοβοῦμαι, τρέω γίνεται, ῥηματικὸν ὄνομα τρεερός, ὡς φαίνω φανερός, σφάλλω σφαλερὸς καὶ τήκω τακερός· καὶ κράσει τῶν δύο εε εἰς η γέγονε τρηρός, ὁ δειλός, ἀφ' οὗ καὶ παρώνυμον τρήρων, καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρηρός, ὁ μὴ δειλός, ἀλλὰ δραστικὸς καὶ ἐρρωμένος τὴν γνώμην, καὶ μεταθέσει τοῦ α εἰς ο ὀτρηρός. παρὰ δὲ τὸ τρῶ γίνεται τρεύς, ὡς τρέφω τροφεύς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρεὺς καὶ τροπῇ Ὀτρεύς· „λαοὺς Ὀτρῆοσ“ (Γ 186). Or.

309* 153, 16 in sede Philoxeni (unde Et. Gen. AB s. v. τρήρων = EM 764, 56): τρήρων · παρὰ τὸ τρέω, τὸ φοβοῦμαι, τρεερὸς ὄνομα ῥηματικὸν καὶ κατὰ συναλιφὴν τρηρός, ἐξ οὗ καὶ παρώνυμον τρήρων, ὡς ἁβρὸς Ἅβρων. Or.

310* 161, 16 in sede Philoxeni (unde Et. Gen. AB s. v. φώρ = EM 804, 6; Et. Gud. 560, 17 St. et cod. z p. 443): φώρ · ὁ λῃστής. παρὰ τὸ φέρω φέρ ἐστι καὶ φόρ, μεταθέσει τοῦ ο εἰς ω φώρ, ὁ τὰ ἀλλότρια φέρων. ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΩΜΑΙΩΝ ΔΙΑΛΕΚΤΟΥ Et.

311 Gen. A s. v. ἁλτὴρ καὶ ἁλτῆρες (ex Orione), unde EM 71, 23: ἁλτὴρ καὶ ἁλτῆρες · ... ὁ δὲ Φιλόξενος ἐν τῷ Περὶ Ῥωμαίων διαλέκτου ἀντὶ τοῦ ἀρτὴρ τροπῇ τοῦ ρ εἰς τὸ λ. Et.

312 Gen. AB s. v. ἁρμός (ex Orione), unde EM 144, 42: ἁρμός · ἡ ἁρμογὴ καὶ συνάφεια. Σοφοκλῆς Ἀντιγόνῃ (1216)· „ἀθρήσαθ' ἁρμὸν χώματος λιθοσπαδῆ“. Φιλόξενος ἐν τῷ Περὶ Ῥωμαίων διαλέκτου παρὰ τὸ ἀρῶ, ὃ σημαίνει τὸ ἁρμόζω, ὃ καὶ ἀραρῶ κατὰ διπλασιασμὸν εἴρηται, ἧρμαι ἁρμός, τῆς δασείας προσελθούσης, ὡς ψάλλω ψαλμός, εἴρω εἱρμός. Et.

313 Gen. AB s. v. ἁρπῶ (ex Orione; vide Reitz., M. T. Varro und Joh. Mauropus p. 87), unde EM 148, 16: ἁρπῶ · ἐξ οὗ τὸ ἁρπάζω. ἐν χρήσει μὲν οὐκ οἶδα 〈τὸ〉 πρωτότυπον. τὸ δὲ ἁρπῶ αὐτὸ παράγωγον ἀπὸ τοῦ ἅρπη παρηγμένον. ἅρπη δέ ἐστιν εἶδος ὀρνέου· ἁρπακτικὸν γάρ. ὡς φωνὴ φωνῶ, αὐδὴ αὐδῶ, σιγὴ σιγῶ, οὕτως ἅρπη ἁρπῶ. οὕτω Φιλόξενος Περὶ Ῥωμαίων διαλέκτου. Et.

314 Gen. AB s. v. κάψα (ex Orione), unde EM 494, 20: κάψα · παρὰ τὸ κάπτω ῥῆμα τὸ δηλοῦν τὸ χωρῶ κάψω κάψα γέγονε, ἡ χωρητικὴ οὖσα τῶν ἐντιθεμένων αὐτῇ· ὥσπερ ἀπὸ τοῦ δόξω δόξα καὶ ἄξω ἄξα 〈καὶ ἅμαξα〉. οὕτως Φιλόξενος ἐν τῷ Περὶ τῆς Ῥωμαίων διαλέκτου. λέγει δὲ ὅτι δύναται καὶ παρὰ τὸ κάμπτω κάμψω κάμψα εἶναι· ἐπειδὴ ἐκ κεκαμμένων ξύλων αὐτὴν συνεστήσαντο. Schol.

315 HPT ad η 90, EM 530, 54: κορώνη · ἐπὶ τοῦ ζῴου (μ 418) καὶ ἐπὶ τοῦ τόξου (Δ 111) καὶ ἐπὶ τῆς θύρας (η 90) καὶ ἐπὶ τῆς πρύμνης τοῦ πλοίου, ἡ καὶ κορωνίς, διὰ τὸ ἐπικαμπὲς σχῆμα. εἴρηται δὲ ταῦτα ἀπὸ τῆς κορώνης τοῦ ζῴου· εὐλύγιστον γὰρ ἔχει καὶ οἷον ἐπικαμπῆ τὸν τράχηλον. καὶ ἐπὶ μέρους δὲ 〈τοῦ〉 σώματος, ὡς ἐπὶ τοῦ ἀγκῶνος, οἷόν τε παράγεσθαι. οὕτω Φιλόξενος ἐν τῷ Περὶ τῆς Ῥωμαίων διαλέκτου. Or.

316 103, 3: μοχλός · παρὰ τὸ ὁμοῦ καὶ τὴν κλεῖν ἔχειν ὠνόμασται, ὡς ἅμα αὐτῷ τὴν κλεῖν ἔχειν. οὕτω Φιλόξενος ἐν τῇ Περὶ Ῥωμαίων διαλέκτου. Or.

317 112, 11 (unde Et. Gen. AB s. v. ξέστης = EM 610, 54; Et. Gud. 414, 40 St. et cod. z p. 330): ξέστης · Ῥωμαϊκόν ἐστι τὸ ὄνομα· τὸν γὰρ παρ' ἡμῖν ἓξ ἀριθμὸν αὐτοὶ λέγουσι σέξ, καὶ μέτρου τινὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρ’ αὐτοῖς τὸ ἕκτον λέγεται σέξτον. διὰ δὲ εὐφωνίαν τὸ σέξτης λέγεται ξέστης κατὰ μετάθεσιν τῶν στοιχείων 〈ς καὶ〉 ξ. οὕτω Φιλόξενος ἐν τῷ Περὶ τῆς τῶν Ῥωμαίων διαλέκτου. Or.

318 120, 16 (unde Et. Gen. AB s. v. ὀπωπή = EM 628, 48): ὀπωπή · παρὰ τὸ ὄπτω ῥῆμα γίνεται ὄνομα ῥηματικὸν ὀπή, ὡς κόπτω κοπή, καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ ἔκτασιν ὀπωπή. οὕτω Φιλόξενος ἐν τῷ Περὶ τῆς Ῥωμαίων διαλέκτου. Or.

319 134, 14 (unde Et. Gen. AB s. v. παιδνός): παιδνός · ἐπὶ τοῦ νεωτάτου παιδός. παρὰ τὸ παίζω παιδνός, ὡς παρὰ τὸ ἀλαπάζω ἀλαπαδνός. οὕτω Φιλόξενος ἐν τῷ Περὶ Ῥωμαίων. Or.

320 148, 27 (unde Et. Gen. AB s. v. σταγών = EM 724, 34): σταγών · παρὰ τὸ στῶ ῥῆμα, οὗ παράγωγον στάζω, οἷον οὐ ῥύδην, ἀλλὰ διάστασιν τῆς φορᾶς τοῦ ὑγροῦ λαβούσης. οὕτω Φιλόξενος ἐν τῷ Περὶ Ῥωμαίων διαλέκτου. Or.

321 145, 33 (unde Et. Gen. AB s. v. στυγνός = EM 731, 15): στυγνός · ὡς παρὰ τὸ ἔτραγον τραγανός, ἔπιθον πιθανός, οὕτω καὶ παρὰ τὸ ἔστυγον στυγανὸς καὶ συγκοπῇ στυγνός· „κατὰ δ’ ἔστυγον αὐτήν“ (κ 113). οἱ δὲ παρὰ τὴν Στύγα φασὶν εἰρῆσθαι· οἱ γὰρ ἀρχαῖοι τὰ μὲν ἀηδῆ καὶ λυπηρὰ ἀπὸ τῶν ψυχρῶν ὀνομάζουσιν, τὰ δὲ ἡδέα καὶ τερπνὰ ἀπὸ τῶν θερμῶν. τὸ οὖν στυγεῖν, τὸ φοβεῖσθαι, ἀπὸ τῆς Στυγός, ἥπερ μυθεύεται ψυχρότατον παρέχειν ὕδωρ. καὶ ὁμοίως ὁ στυγνὸς παρ’ αὐτὴν εἴρηται. τὴν δὲ τέρψιν θαλπωρὴν καὶ τὸ τέρπεσθαι ἰαίνεσθαι. καὶ „φόβου κρυόεντοσ“ (Ι 2), ἀπὸ τοῦ κρύους τοῦ ψυχροῦ. οὕτως Φιλόξενος ἐν τῷ Περὶ τῆς Ῥωμαίων διαλέκτου. Or.

322 157, 11 (unde Et. Gen. B s. v. ὑπέρινον, deest A = EM 779, 6): ὑπέρινον · τὸ σφόδρα λεπτόν. ἰνῶ ἐστι ῥῆμα, τὸ ἐκκενῶ καὶ λεπτύνω καὶ ὀξύνω· ὅθεν καὶ ὑπέρινον ἄνδρα λέγουσι τὸν λεπτὸν καὶ κενὸν σαρκῶν. Φιλόξενος ἐν τῷ Περὶ τῆς Ῥωμαίων διαλέκτου. E LIBRO ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΩΜΑΙΩΝ ΔΙΑΛΕΚΤΟΥ Choer.

323 schol. Theod., Gramm. Gr. IV 2, 34, 4 Hilgard: ἄλλως τε δέ, ὃ καὶ ἀληθέστερόν ἐστι καὶ ἀναγκαιότερον, διὰ τοῦτο κανονίζομεν τὰ δυϊκὰ ἐκ τῶν πληθυντικῶν, ὡς λέγει ὁ Φιλόξενος, ἐπειδὴ τὰ δυϊκὰ ὑστερογενῆ εἰσιν· ὕστερον γὰρ ἐπενοήθησαν τὰ δυϊκά· ὅθεν οὐδὲ πᾶσα διάλεκτος κέχρηται τῷ δυϊκῷ ἀριθμῷ· οἱ γὰρ Αἰολεῖς παντελῶς δυϊκὰ οὐκ ἔχουσιν, ὥσπερ οἱ Ῥωμαῖοι ἄποικοι ὄντες τῶν Αἰολέων· ἀλλ’ οὔτε δὲ 〈ἡ κοινὴ〉 διάλεκτος ἔχει δυϊκά, ἀλλ’ εἰς πάντα τῷ πληθυντικῷ ἀριθμῷ κέχρηται ἀντὶ τοῦ δυϊκοῦ ἀριθμοῦ, μὴ ἔχουσα δυϊκά. εἰκότως οὖν, ἐπειδὴ τελευταῖον ἐπενοήθησαν τὰ δυϊκά, ἐκ τῶν πληθυντικῶν κανονίζονται προτερευόντων αὐτῶν. Or.

324* 90, 35: κέντο · τὸ ἑκατὸν καλοῦσι Ῥωμαῖοι, ἐξ οὗ καὶ κεντηνάριον ὠνόμασται. Et.

325 Gen. AB s. v. κύμβαι (unde EM 545, 36): κύμβαι · ὁμοίως καὶ κύμβαι πλοῖα περιφερῆ παρὰ Ῥωμαίοις. Φιλόξενος. a.

326* Or. 86, 26 in sede Philoxeni: κυμβία · τὰ κυφὰ ἐκπώματα. b. Et. Gen. AB s. v. κυμβία (unde EM 545, 34): κυμβία · τὰ κυφὰ ἐκπώματα, διὰ τὸ περιφερῆ εἶναι καὶ κυφά. κυφὸν δὲ τὸ κυρτοειδὲς καὶ περιφερές. παρὰ τὸ κύπτω κυφός. Lyd.

327 De mens. 4, 34 (p. 91, 25 Wuensch), unde Georg. Cedrenus, Histor. comp. I, p. 295, 21 B.: ὅτι τὸν Μάρτεμ οἱ Ῥωμαῖοι μόρτεμ ἐκάλουν, οἱονεὶ θάνατον, ἢ κινητὴν τῶν τεχνῶν ἢ Ἄρεα τὸν παρ’ ἀρρένων καὶ μόνων τιμώμενον, ἢ ἐκ τοῦ μάρνασθαι κατὰ Φιλόξενον. Lyd.

328 De magistr. pop. Rom. 1, 42 (p. 43, 9 Wuensch): νέπως ὁ νέος παῖς ἐξ Ἑλληνικῆς ἐτυμολογίας ὁ ἔγγονος λέγεται, ὡς καλῶς ὁ Φιλόξενος εἶπεν. nepos δὲ καὶ ὁ ἄσωτος, [ὅπερ καὶ αὐτὸ τροπικῶς. καὶ κατὰ θεωρίαν τάχα τοῖς Ἕλλησι παραχωρητέον,] ὅτι τὸν σκορπίον οἱ Ῥωμαῖοι πατρίως νέπαν καλοῦσιν, οἱονεὶ ἄποδα κατὰ στέρησιν (τὴν γὰρ νε συλλαβὴν στερητικῷ τρόπῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαμβάνουσι Ῥωμαῖοι, ὥσπερ Ἕλληνες νήλιπος νήχυτος νήγρετος νήδυμος) ἐκ τοῦ κατὰ φύσιν συμβαίνοντος τῷ θηρίῳ ... ταύτῃ 〈τοὺσ〉 σκορπιστὰς νέπωτας ἀποκαλοῦσιν αὐτοί, οἷα τῶν ἰδίων [μελῶν] διαφθορεῖς. Et.

329* Gen. B s. v. φράτορες (deest A): φράτορες· ... φρᾶτος δὲ σημαίνει τὸν συγγενῆ κατὰ Ῥωμαίων διάλεκτον. ΠΕΡΙ ΠΑΡΑΓΩΓΩΝ Et.

330 Gen. AB s. v. ἰσχνός (ex Orione), unde EM 479, 3: ἰσχνός · παρὰ τὸ ἴσχω ἰσχός, καὶ πλεονασμῷ τοῦ ν ἰσχνός. οὕτως Φιλόξενος ἐν τῷ Περὶ παραγώγων. ΠΕΡΙ ΣΥΓΚΡΙΤΙΚΩΝ Et.

331 Gen. B s. v. αἰδοιέστατον (deest A; vide Reitz., Ind. lect. Rostoch. 1890/91 p. 5), unde EM 31, 4, Et. Sym. 114, 1 S.: αἰδοιέστατον · ἰστέον ὅτι τὸ ἀρχέστατον, ὡς παρ’ Αἰσχύλῳ ἐν τῇ Πηνελόπῃ (fr. 187 N. 2 = 483 M.), οἷον „ἐγὼ γένος μέν εἰμι Κρὴς ἀρχέστατον“, καὶ τὸ αἰδοιέστατον καὶ ἀφθονέστατον ποιητικά ἐστι κατ’ ἔθος Ἰώνων γενόμενα· τὰ γὰρ διὰ τοῦ ο συγκριτικὰ οὗτοι διὰ τοῦ ες προφέρουσιν, οἷον δικαιέστερος καὶ ἀρχέστερος καὶ ἀφθονέστερος· ὤφειλε γὰρ τὰ τοιαῦτα δικαιότερος εἶναι καὶ αἰδοιότερος καὶ ἀφθονώτερος καὶ ἀρχότερος. οὕτω Φιλόξενος εἰς τὸ Περὶ συγκριτικῶν. Et.

332 Gen. AB s. v. ἀφθονέστατον (vide Reitz., Ind. lect. Rostoch. 1890/91 p. 5, Miller, Mélang. p. 55): ἀφθονέστατον · ἰστέον ὅτι τὸ ἀρχέστατον, ὡς παρ’ Αἰσχύλῳ ἐν τῇ Πηνελόπῃ (fr. 187 N. 2 = 483 M.), οἷον „ἐγὼ γένος μέν εἰμι Κρὴς ἀρχέστατον“, καὶ τὸ αἰδοιέστατον, ὡς παρ’ Ἀλκμᾶνι (fr. 2 II Page), οἷον „σιοῖσι κἀνθρώποισιν αἰδοιέστατοι“, καὶ τὸ ἀφθονεστέρα, οἷον „ὤρουσε κρήνης ἀφθονεστέρα λιβάσ“ Ἡλιάσιν (Aesch. fr. 72 N. 2 = 106 M.), ταῦτα ποιητικά εἰσιν κατ’ ἔθος Ἰώνων γινόμενα· τὰ γὰρ διὰ τοῦ ο συγκριτικὰ οὗτοι διὰ τοῦ ες προφέρουσιν, οἷον δικαιέστερος καὶ ἀρχέστερος λέγοντες· ὤφειλεν γὰρ τὰ προειρημένα δικαιότερος εἶναι καὶ αἰδοιότερος καὶ ἀφθονώτερος. οὕτως Φιλόξενος εἰς τὸ Περὶ συγκριτικῶν. a.

333 Et. Gen. AB s. v. βέλτερος (unde EM 195, 11): βέλτερος · ... ὁ δὲ Φιλόξενος εἰς τὰ Συγκριτικὰ λέγει, ὅτι τὸ βέλτερος καὶ φέρτερος οὔκ εἰσι συγκριτικά· θέματα δέ εἰσι συμπεπτωκότα τύποις συγκριτικοῖς· οὐδὲ γὰρ πάντα τὰ εἰς δης πατρωνυμικά εἰσιν, οὐδὲ πάντα τὰ εἰς κος κτητικά. καὶ δῆλον ἐκ τούτου· οὐδὲν εἰς ρος λῆγον συγκριτικὸν μετὰ στερήσεως λέγεται. εἰ οὖν ἀβέλτερός φαμεν, δῆλον ὅτι οὐ συγκριτικόν· τὸ γὰρ ἀτυχέστερος οὐκ ἐν τῷ συγκριτικῷ εἴληφε τὴν σύνθεσιν, ἀλλὰ παρὰ τὸ ἀτυχὴς ἐσχημάτισται. b. Et. Gen. AB s. v. φέρτερος (de cod. B vide Miller, Mélang. p. 300): φέρτερος · τὸ φέρτερος καὶ βέλτερος οὐκ οἰητέον εἶναι συγκριτικά· θέματα 〈δέ εἰσι〉 συμπεπτωκότα τύποις συγκριτικοῖς. Et.

334 Gen. AB s. v. γεραίτερος (unde EM 227, 24): γεραίτερος · οὐ παρὰ τὸ γέρων ἐσχημάτισται· οὐδ’ ὅλως γάρ ἐστι παρὰ τὸ γέρων συγκριτικόν· ἀπαρασχημάτιστον γάρ ἐστι τοῖς τρισὶ γένεσιν. ἀλλὰ παρὰ τὸ γεραιὸς γίνεται γεραιότερος, ὡς παλαιὸς παλαιότερος, καὶ κατὰ συγκοπὴν γεραίτερος. καὶ ἰστέον ὅτι τὰ εἰς ρος συγκριτικὰ ἢ διὰ τοῦ ο λέγεται ἢ διὰ τοῦ ω· ὅθεν τὸ γεραίτερος καὶ μεσαίτερος καὶ φιλαίτερος κατὰ συγκοπὴν γέγονεν ἀπὸ τοῦ 〈γεραιότεροσ〉, μεσαιότερος καὶ φιλαιότερος καὶ τῶν ὁμοίων· ὅθεν ἁμαρτάνουσιν οἱ λέγοντες μεσαίτερος καὶ φιλαίτερος καὶ ἀρσενικώτερος 〈 *** 〉. οὕτω Φιλόξενος εἰς τὰ Συγκριτικά. Et.

335 Gen. AB s. v. γλύκιστος (unde EM 234, 48): γλύκιστος · τὰ εἰς υς τριγενῆ ποιοῦσι συγκριτικὰ καὶ ὑπερθετικά, οἷον ὁ βραδὺς ἡ βραδεῖα καὶ τὸ βραδύ, καὶ τὸ συγκριτικὸν βραδύτερος βραδίων βράδιστος. οὕτω οὖν καὶ 〈ὁ〉 γλυκὺς 〈ἡ〉 γλυκεῖα καὶ τὸ γλυκύ, καὶ τὸ συγκριτικὸν γλυκύτερος γλυκίων γλύκιστος· ὅθεν τὸ πρεσβύτερος καὶ νεώτερος παραλόγως· ἀπαρασχημάτιστα γὰρ τοῖς τρισὶ γένεσιν. ἀλλὰ μήποτε ὁμοτυπίᾳ συγκριτικῶν ταῦτα ὑπάγονται. οὕτως Φιλόξενος εἰς τὰ Περὶ συγκριτικῶν. E LIBRO ΠΕΡΙ ΣΥΓΚΡΙΤΙΚΩΝ EM 13, 32, Et.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

336 Sym. 42, 17 S. (ex Et. Gen.): ἀγροτέρη · οὐκ ἀπὸ τοῦ ἄγριος· ἀγριώτερος γὰρ ἦν ἄν· ἀλλὰ παρὰ τὸν ἀγρὸν ἀγρότερος πεποίηται· ἀπαρασχημάτιστον γάρ. οὕτως Φιλόξενος. a.

337* EM 31, 12; Et. Sym. 108, 14 S. (ex Et. Gen., vide Reitz., Ind. lect. Rostoch. 1890/91 p. 5): αἰδοιαίτατα · ὥσπερ δὲ οὗτοι διὰ τοῦ ες σχηματίζουσιν, οὕτως καὶ οἱ Ἀττικοὶ διὰ τοῦ ις ποτίστατον λέγοντες καὶ λαγνίστατον καὶ ψευδίστατον. Ἀριστοφάνης (Th. 735)· „ὦ θερμόταται γυναῖκες, ὦ ποτίσταται“. καὶ πάλιν· „τῶν ἐμῶν γὰρ οἰκετῶν εὐνούστατον ἡγοῦμαί σε καὶ κλεπτίστατον“ (Plut. 26—27) καὶ „λαλίστερον εὕρηκά σε“ (Ar. fr. 668 K.) καὶ „πτωχίστερον“ (Ar. fr. dub. 944 K., cf. Ach. 425) καὶ „ψευδίστατον“ Ἀριστοφάνης (fr. 890 K.). Πλάτων (fr. 57 K.) „ἵν’ ἀπαλλαγῶμεν ἀνδρὸς ἁρπαγιστάτου“. καὶ πλουτίστατος λέγεται καὶ πληκτίστατος. ὁμοίως καὶ διὰ τοῦ αι ἰσαίτατα, ἀσμεναίτατα, προὐργιαίτατα, ἡσυχαίτερον. „ἀσμεναίτατα“ μέντοι Πλάτων ἐν πρώτῃ Πολιτείας (329 C)· καὶ „ἰσαίτερον“ καὶ ἐν Πολιτικῷ (275 C) „πλησιαίτερον“ καὶ „ἡσυχαίτατα“ (Charm. 160 A). Ξενοφῶν δὲ καὶ „πλησιαίτατα“ (Vect. 4, 46) καὶ „φιλαίτατα“ (HG. 7, 3, 8). b. Eust. 1441, 23: ὥσπερ δέ φασι διὰ τοῦ ες σχηματίζουσιν 〈Ἴωνεσ〉 οὕτω καὶ 〈οἱ〉 Ἀττικοὶ διὰ τοῦ ις· ποτίστατον γάρ φησιν Ἀριστοφάνης, ὡς τὸ (Th. 735) „ὦ θερμόταται γυναῖκες, ὦ ποτίσταται“. οὕτω καὶ λαγνίστατον καὶ „κλεπτίστατον“ (Ar. Plot. 27) καὶ „λαλίστερον εὕρηκά σε“ (Ar. fr. 668 K.) ὡς καὶ λαλίστατον καὶ „πολὺ πτωχίστεροσ“ (Ar. fr. dub. 944 K., cf. Ach. 425) καὶ ψευδίστατος (Ar. fr. 890 K.) [καὶ ὅσα τοιαῦτα ἐξ ὑπερθετικῶν τῶν εἰς στος ὑπερθετικὰ ἢ συγκριτικά.] καὶ Πλάτων δὲ Κλεοφῶντι (fr. 57 K.) „ἵν’ ἀπαλλαγῶμεν ἀνδρὸς ἁρπαγιστάτου“. καὶ πληκτίστατος δὲ λέγουσιν ... εἰσὶ δέ, φασί, σχηματισμοὶ καὶ διὰ τοῦ αι· ἰσαίτατον γάρ φασι καὶ προὐργιαίτερον. Πλάτων δ’ ἐν πρώτῳ Πολιτείας (329 C) „ἀσμεναίτατα“ λέγει καὶ „ἰσαίτερον“ καὶ ἐν Χαρμίδῃ (160 A) „ἡσυχαίτατα“. ἔστι δὲ καὶ πλησιαίτερον. Ξενοφῶν δὲ καὶ „φιλαίτατον“ ἐν ἑβδόμῃ φησί (HG. 7, 3, 8). Athen.

338* 10, 424 d: τῷ δὲ ἀκρατέστερον Ὑπερείδης κέχρηται ἐν τῷ κατὰ Δημοσθένους (p. 23 B. 3 = p. 24 Jensen) γράφων οὕτως· „εἰ μέν τις ἀκρατέστερον ἔπιεν, ἐλύπει σε“. τούτῳ ὅμοιόν ἐστι τὸ „ἀνιηρέστερον“ (β 190) καὶ τὸ ἐν Ἡλιάσιν Αἰσχύλου (fr. 72 N. 2 = 106 M.) „ἀφθονέστερον λίβα“. καὶ Ἐπίχαρμος δὲ ἐν Πύρρᾳ (fr. 121 Kaibel) „εὐωνέστερον“ ἔφη. καὶ ἐν τῷ κατὰ Δημάδου δὲ ὁ Ὑπερείδης εἴρηκε (fr. 86 B. 3 = 86 Jensen) „ῥαδιεστέραν τὴν πόλιν“. a.

339 Et. Gen. AB s. v. ἀνιηρέστερον (unde EM 110, 9): ἀνιηρέστερον · „αὐτῷ μέν οἱ πρῶτον ἀνιηρέστερον ἔσται“ (β 190). πῶς οὐκ ἀνιαρώτερον; εἴρηται 〈 *** 〉 ἀνιαρὸς γὰρ τὸ πρωτότυπον. καὶ ἰστέον ὅτι τὰ εἰς ος λήγοντα ὀνόματα, ὅσα οὐδετέροις παρασχηματίζονται, ἤγουν τριγενῆ ὄντα, ταῦτα καὶ συγκριτικὰ ποιοῦσιν, οἷον ἐλαφρὸς ἐλαφρὴ καὶ τὸ ἐλαφρὸν καὶ τὸ συγκριτικὸν ἐλαφρότερος, ἁγνὸς ἁγνὴ ἁγνὸν ἁγνότερος, λευκὸς λευκὴ λευκὸν λευκότερος· οὕτως οὖν καὶ ἀνιαρὸς ἀνιαρὴ ἀνιαρὸν ἀνιαρότερος ὤφειλεν εἶναι. ἀλλ’ ἔστιν εἰπεῖν, ὅτι παρὰ τὸ ἀνιαρὸς γίνεται παρώνυμον ἀνιαρής, ὥσπερ ὁμαλὸς ὁμαλής, γυμνὸς γυμνής, ἀργὸς ἀργής. καὶ ἐπειδὴ τὰ εἰς ης λήγοντα τριγενῆ ὑπέρθεσιν δέχονται καὶ σύγκρισιν, οἷον ὁ εὐτυχὴς ἡ εὐτυχὴς καὶ τὸ εὐτυχὲς καὶ τὸ συγκριτικὸν εὐτυχέστερος, εὐγενέστερος ἐμμελέστερος ὑγιέστερος σαφέστερος πληρέστερος εὐωδέστερος ἐμβριθέστερος προγενέστερος. Καλλίμαχος 〈 *** 〉 „ἠὲ νέων ἀνδρῶν, ἢ οἳ προγενέστεροί εἰσιν“ (β 29). οὕτως οὖν καὶ ὁ ἀνιαρὴς καὶ ἡ ἀνιαρὴς καὶ τὸ ἀνιαρὲς καὶ ἀνιαρέστερον τὸ συγκριτικὸν καὶ κατ’ ἔκτασιν ἀνιηρέστερον. ἁμαρτάνουσιν ἄρα οἱ προφερόμενοι πενέστατος· ἀπαρασχημάτιστον γὰρ τὸ πένης ὄνομα τῷ οὐδετέρῳ. ἔδει δὲ καὶ παρὰ τὸ κλέπτης καὶ ψευδὴς μηδ’ ὅλως σχηματίζεσθαι συγκριτικά. οἱ δ’ Ἀττικοὶ κλεπτίστατον καὶ ψευδίστατον εἰπόντες τὰ συγκριτικὰ ἥμαρτον· ἀντὶ γὰρ τοῦ κλεπτέστατον καὶ ψευδέστατον. οὕτω Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὐτοῦ. b. Eust. 1441, 11: τὸ δὲ ἀνιηρέστερον (β 190) ὤφειλε μὲν εἶναι ἀνιηρότερον, μέτρου δὲ χάριν οὕτω λαλεῖται, ὡς καὶ τὸ αἰδοιέστερον καὶ λοιπὰ τοιαῦτα. ἐν οἷς καὶ τὸ ἀμορφέστατος γυνὴ παρ’ Ἡροδότῳ (1, 196, 3)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ἐν ἀκριβεστέροις ἀντιγράφοις καὶ τὸ ποδηγέστερον ἐκ τοῦ ποδηγός, ἀντὶ τοῦ ὁδηγητικώτερον, ὅπερ ἐν τοῖς τοῦ Σουΐδᾳ κεῖται (P 1843 A. Adler). πλεονάζει δὲ τοιαύταις παραγωγαῖς καὶ ὁ Πίνδαρος.] οἱ δὲ παλαιοὶ καὶ ταῦτά φασιν. εὕρηται καὶ δικαιέστερον καὶ ἀκρατέστερον ἐκ τοῦ ἄκρατος. Ἐπίχαρμος δὲ (fr. 186 abcd Kaibel) καὶ „ἀλλοιέστερον“ λέγει καὶ „ἐπιηρεστέραν“ καὶ „ἀναγκαιέστατον“ καὶ „ὡραιέστατον“. Στησίχορος δὲ (fr. 89 Page) „ὑπερθυμέστατον ἀνδρῶν“. Ἑκαταῖος δὲ (FGrHist 1 F 368 bis Jacoby) „οἱ Βιαντίδαι ἄνδρες σπουδαιέστατοι ἐγένοντο“. καὶ Ἡρόδοτος (1, 8, 1 cf. 1, 133, 3) „τὰ σπουδαιέστερα τῶν πρηγμάτων“. Δημόκριτος δὲ (fr. B 121, II 167, 7 D.-K.) „ἐπιτηδειέστατόν“ φησι. καὶ Δεινόλοχος (fr. 10 Kaibel) „γενναιέστατον“. Ἀντίμαχος δὲ (fr. 87 Wyss) ὅτι „ἀφνειέστατος ἔσκεν“. Εὔπολις δὲ (fr. 307 K.) „πόλιν 〈γε〉 θεοφιλεστάτην οἰκοῦσιν ἀφθονεστάτην τε χρήμασι“. Πίνδαρος (Ol. 2, 62) „ἀπονέστερον“. Σέλευκος δὲ (fr. 4 M.) παρ᾿ Ὁμήρῳ φησὶ τὴν Ἀριστοφάνειον γραφὴν (p. 20 et 46 Nauck) ἔχειν „Ἀτρείδη κύδιστε φιλοκτεανέστατε πάντων“ (A 122). Et.

340 Gen. AB s. v. δεξιτερός (unde EM 256, 26): δεξιτερός · εἰ ἔστιν ἀπὸ τοῦ δεξιός, ὤφειλεν εἶναι δεξιώτερος, ὡς λογιώτερος. ἔστιν οὖν παρώνυμος ὁ χαρακτήρ· παρὰ γὰρ τὸ δεξιὸς γίνεται δεξιερός, ὡς ἄριστος ἀριστερός, φθόνος φθονερός, μόγος μογερός, καὶ πλεονασμῷ τοῦ τ δεξιτερός. οὕτως Φιλόξενος. Et.

341* Gen. A I B s. v. ἐπιλησμότατον (unde EM 361, 38): ἐπιλησμότατον · ὡς σωφρονέστατον ἐπιλησμονέστατον. ἐκ τοῦ λήθω. Phot.

342* Lex. 12, 10 P.: ἐργατίστερον λέγουσιν. Et.

343* Gen. B s. v. εὐνοέστατον (vide Miller, Mélang. p. 134; glossam om. A), unde EM 394, 5: εὐνοέστατον · „καὶ γλαυκῶπιν τίω πάντοτε βροτοῖσιν 〈εὐνοεστάτην θεόν〉 “ (incerti auctoris). εὐνοέστατον, δέον εὐνοώτατον. ῥητέον δὲ ὅτι ἔθος ἐστὶν Ἰάδι διαλέκτῳ οὕτως τὰ τοιαῦτα ποιεῖν, ὥσπερ ἀφθονώτερον καὶ ἀφθονέστερον· τὰ γὰρ διὰ τοῦ ο συγκριτικὰ διὰ τοῦ ες προφέρουσιν, οἷον δικαιέστερον, ἀντὶ τοῦ δικαιότερον, καὶ τὰ τοιαῦτα. Et.

344 Gen. B s. v. εὐνούστατον (gl. om. cod. A), unde EM 394, 10: εὐνούστατον · πᾶν ὄνομα εἰς ους λῆγον τὸ παρακείμενον συγκριτικόν τε καὶ ὑπερθετικὸν προσθέσει τοῦ τος ἀποτελεῖ, οἷον ἁπλούστατος εὐχρούστατος. ζητητέον δὲ τί δήποτε εὔνους ἐστὶν τὸ ἁπλοῦν 〈καὶ εὔνοοσ〉 καὶ τὸ συγκριτικὸν εὐνοώτερος, τὸ δὲ συνῃρημένον σχῆμα εὐνούστερος καὶ οὐχὶ εὐνούτερος. ῥητέον οὖν ὅτι ὅσα μὲν τῶν πρωτοτύπων βραχυκαταληκτεῖ, ταῦτα οὐκ ἔχει σύμφωνον ἐν τῷ συγκριτικῷ καὶ ὑπερθετικῷ, οἷον ταχὺς ταχύτερος καὶ ταχύτατος· ὅσα δὲ μακροκαταληκτεῖ ταῦτα μετὰ συμφώνου ἐν τοῖς συγκριτικοῖς ἐκφέρονται καὶ ὑπερθετικοῖς, οἷον εὐγενὴς εὐγενέστερος εὐγενέστατος καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως. τὸ δὲ εὐνούστατος, ὅτε μέν ἐστιν ἀπὸ τοῦ εὔνοος, δεῖ εἶναι εὐνοώτερος, ὅτε δὲ ἀπὸ τοῦ εὔνους, εὐνούστερος. ἰστέον ὅτι τὰ μετὰ συμφώνου γινόμενα ἐν τοῖς συγκριτικοῖς βραχύνεται κατὰ τὰ φωνήεντα, οἷον σωφρονέστατον ὑγιέστερον. τὸ οὖν εὐνούστερον ἢ περισσὸν οἰητέον ἔχειν τὸ ς ἢ ὀφείλει βραχύνεσθαι κατὰ τὴν τρίτην ἀπὸ τέλους. ὥστε τὸ μὲν εὐνούστερος ἡμάρτηται, ὑγιῶς δὲ ἔχει τὸ εὐνοώτερος Φιλόξενος. Et.

345* Gen. AB s. v. ἥδυμος (unde EM 420, 46): ἥδυμος · ... ἢ ἀπὸ τοῦ ἡδὺς ἥδυμος, ὡς παρ᾿ Ἐπιχάρμῳ (fr. 179 Kaibel)· „ἅμα τε καὶ λόγων ἀκούσας ἡδύμων“. τὸ συγκριτικὸν ἡδυμώτερος καὶ Ἰωνικῶς ἡδυμέστερος, ὡς ἀνιαρότερος ἀνιηρέστερος. τὸ δὲ ὑπερθετικὸν ἡδυμέστατον Ἀλκμὰν ἔφη (fr. 135 Page). Et.

346* Gen. AB s. v. θερειτάτη (unde EM 447, 3): θερειτάτη · ὡς παρὰ Νικάνδρῳ (Th. 469)· „θερειτάτη ἵσταται ἀκτίσ“. παρὰ τὸ θέρειος· οὐδέποτε γὰρ ἀπὸ τῶν εἰς ος οὐδετέρων σχηματίζεται συγκριτικόν. παρὰ τὸ θέρος οὖν γίνεται θέρειος κτητικόν, ὡς τέλος τέλειος καὶ τὸ θηλυκὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θερεία. παρὰ τὸ θέρειος οὖν γίνεται ὑπερθετικὸν θερειοτάτη καὶ κατὰ συγκοπὴν θερειτάτη. Ἄρατος (Ph. 149)· „ἦμος ὅτ' ἠελίοιο θερείταταί εἰσι κέλευθοι“. Et.

347 Gen. AB s. v. μακάρτατος (unde EM 573, 51): μακάρτατος · ἰστέον ὅτι τὰ συγκριτικὰ σχηματίζεται ἢ παρὰ τὰ εἰς ων λήγοντα ἢ παρὰ τὰ εἰς ας ἢ εἰς υς ἢ εἰς ους, καὶ ταῦτα ἐὰν φυλάττῃ τριγένειαν. διόπερ μεμπτέον Σώφρονα λέγοντα (fr. 1 Kaibel)· „φωρτάτους ἀεὶ καπήλους παρέχεται“· οὐδὲ γὰρ τὰ εἰς ωρ λήγοντα σχηματίζουσιν συγκριτικὸν καὶ ὑπερθετικόν. ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες μακάρτατος. τὸ μέντοι φέρτερος φέρτατος, βέλτερος βέλτατος, ὕστερος ὕστατος οὐκ οἰητέον εἶναι συγκριτικὰ οὐδὲ ὑπερθετικά, συμπεπτωκέναι δὲ τοῖς συγκριτικοῖς. ὁμοίως δὲ καὶ τὸ πρότερος· οὐ γὰρ ἀπὸ τοῦ πρῶτος, ἐπεὶ ὤφειλεν διὰ τοῦ ω μεγάλου γράφεσθαι. Φιλόξενος. Et.

348 Gen. AB s. v. πλειότερος (vide Reitz., Ind. lect. Rostoch. 1891/92 p. 3; de cod. B vide Miller, Mélang. p. 247), unde EM 675, 12: πλειότερος · κατασκευάζεται οὕτως 〈 *** ἰστέον〉 ὅτι οὐ πάντα τὰ εἰς ων ὀνόματα ποιοῦσι συγκριτικά, ἀλλὰ μόνα τὰ παρασχηματιζόμενα θηλυκῷ καὶ οὐδετέρῳ γένει 〈βαρύτονα〉 · τῶν γέ τοι ὀξυτόνων οὐδὲν εἰς σύγκρισιν κλίνεται· οὐδὲ γὰρ τοῖς γένεσιν παρασχηματίζεται 〈 *** 〉 οἷον σωφρονέστατος τλημονέστατος ἀπὸ τοῦ σώφρων καὶ τλήμων. Εὐριπίδης (Med. 1067)· „ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδόν“. τὸ οὖν παρὰ Καλλιμάχῳ (fr. 535 Pf.) „ὄφρα σε πλειοτέρῃ δεῦρο δέχωμαι“ οὐ παρὰ τὸ πλείων πεποίηται, ἐπεὶ πλειονέστερον ἂν ἐλέγετο, ἀλλὰ παρὰ τὸ πλεῖος, ἀφ' οὗ καὶ Ὅμηρος (μ 92) „πλεῖοι μέλανος θανάτοιο“ καὶ τὸ „πλεῖαί τοι οἴνου κλισίαι“ (I 71). πλεῖος οὖν καὶ πλειότερος, οἷον „φθέγγεο κυδίστη πλειοτέρῃ φάρυγι“ (Call. fr. 757 Pf.). ἡμάρτηται δὲ ὡμολογημένως τὸ „δεύτερον αὖτε γένος πολὺ χειρότερον“ παρὰ Ἡσιόδῳ (Op. 126)· διχῶς γὰρ ἐποίησεν. συγκριτικὸν γὰρ ὂν τὸ χεῖρον συγκριτικὸν ἐποίησεν, ὅπερ ἀδύνατον. καὶ εἰ ὅλως ὤφειλεν εἰπεῖν, χειρονέστερον ἂν ἐσχημάτισεν. τί οὖν; ἴσως παρὰ τὸ χεῖρος. οὕτω Φιλόξενος Ῥηματικῷ. Phot.

349* Lex 451, 20 P.: προδοτίστερον λέγουσιν, ὡς λαγνίστερον καὶ κλεπτίστερον καὶ πτωχίστερον. a.

350* Et. Gen. B s. v. τέρπνιστος · ἐκ τοῦ τερπνὸς τερπνίων τέρπνιστος· Καλλίμαχος (fr. 536 Pf.)· „τέρπνιστοι δὲ τοκεῦσι“. b. EM 753, 15 (ex pleniore Et. Gen.): τέρπνιστος · πᾶν ὄνομα εἰς ων λῆγον καθαρὸν συγκριτικὸν τοῦ ἰδίου πρωτοτύπου μιᾷ συλλαβῇ πλεονάζει, οἷον ταχὺς ταχίων τάχιστος, κακὸς κακίων κάκιστος, βραδὺς βραδίων βράδιστος, ἐλαχὺς ἐλαχίων ἐλάχιστος, τερπνὸς τερπνίων τέρπνιστος· Καλλίμαχος (fr. 536 Pf.)· „τέρπνιστοι δὲ τοκεῦσι τόθ' υἱέεσ“. ὠκὺς ὠκίων ὤκιστος, γλυκὺς γλυκίων γλύκιστος, πρέσβυς πρεσβίων πρέσβιστος, „πρέσβιστον ἄστρων νυκτὸς ὀφθαλμὸς πρέπει“ Αἰσχύλος (Sept. 390). βραχὺς βραχίων βράχιστος, λάλος λαλίων λάλιστος λαλίστατος, ψευδὴς ψευδίων ψεύδιστος ψευδίστατος, κλέπτης κλέπτιστος κλεπτίστατος. οὕτως οὖν καὶ καλὸς καλίων καὶ πλεονασμῷ ἑτέρου λ καλλίων κάλλιστος. EM 774, 41 (ex pleniore Et.

351 Gen., vide Reitz., Gesch. p. 242, 1), Et. Sym. cod. Vs. v. ὑγιής: 〈 ὑγιώτερον 〉 · ζητεῖται τὸ παρὰ Σώφρονι (fr. 34 Kaibel) „ὑγιώτερον κολοκύντασ“ πῶς οὐ λέγει ὑγιέστερον; ῥητέον οὖν, ὅτι ἑκοντὶ ἥμαρτε τὸ ἄκακον τῆς γυναικείας ἑρμηνείας μιμούμενος. ὃν τρόπον κἀκεῖ ἐσολοίκισε (fr. 35 Kaibel) „τατωμένα τοῦ κιτῶνοσ“, ἀντὶ τοῦ ἐνέχυρα θεῖσα. „ὁ τόκος νιν ἁλιφθερώκει“. Φιλόξενος. Et.

352* Gen. AB s. v. φίλτερον (unde EM 795, 6): φίλτερον · παρὰ τὸ φίλος φιλώτερος, ἐξ οὗ τὸ θηλυκὸν φιλωτέρα, οἷον „Γελλὼ παιδοφιλωτέρα“ (Sappho fr. 178 Lobel—Page), καὶ συγκοπῇ φίλτερος. πᾶν δὲ συγκριτικὸν εἰς ρος λῆγον ὑπὲρ δύο συλλαβάς ἐστιν. τὸ μέντοι φίλτερον καίτοι ὑπὲρ δύο συλλαβὰς ὂν διαφωνεῖ ὡς πρὸς τὰ συγκριτικά· οὐκ ἔχει γὰρ τοῦ πρωτοτύπου τὸ ο. Et.

353

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Gen. B s. v. χαριέστερος (deest A), unde EM 807, 1: χαριέστερος · πᾶν ὄνομα εἰς εις λῆγον τὸ παρακείμενον συγκριτικὸν ἔχει δύο συλλαβὰς πλεονάζον τῆς εὐθείας, οἷον χαρίεις χαριέστερος, τιμήεις τιμηέστερος, μορφήεις μορφηέστερος, τολμήεις τολμηέστερος καὶ τολμηέστατος· οὐ γὰρ παρὰ τὸ τόλμη ἐσχημάτισται· ἀκοινώνητα γὰρ συγκρίσει πάντα τὰ θηλυκά. ἡμάρτηται δὲ παρ' Ὁμήρῳ (B 307. 310) 〈τὸ〉 πλατάνιστος· ὑπερθετικὸν γάρ ἐστιν, ὡς κάκιστος, ἄριστος. ἔνιοι μέντοιγε παροξύνουσι λέγοντες εἶναι ὑποκοριστικὸν τὸ σχῆμα, καθὼς καλαμίσκος καὶ πυργίσκος, ἀγνοοῦντες ὅτι, εἰ ἦν ὑποκοριστικόν, ἔδει διὰ τοῦ κ ἐκφέρεσθαι. τὸ δὲ ὀρέστερος οὐκ ἀπὸ τοῦ ὄρους, ἀλλ' ἀπὸ τοῦ ὀρήεις ὀρηέστερος καὶ κατὰ συγκοπὴν ὀρέστερος· ἀπὸ γὰρ τῶν εἰς ος οὐδετέρων οὐδέποτε γίνεται συγκριτικόν. Φιλόξενος. ΡΗΜΑΤΙΚΟΝ EM 4, 6 (vide etiam Exc. [10]

354 cod. Voss. gr. 20 ap. H. Sell, Et. Sym. 167, 25; ex Et. Gen.), Et. Sym. 14, 1 S.: ἀβολήτωρ · βολῶ καὶ ἀντιβολῶ· παρ' ὃ τὸ ἀβολήτωρ, ὁ μὴ παρακαλῶν. Ἀντίμαχος Ἰαχίνῃ (FR. 76 Wyss)· „τοὶ δ' ἄρα οἱ ἀβολήτορες ἄνδρες ἔασιν". οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὐτοῦ. Et. [5]

355 Gen. B s. v. ἄεισι (unde EM 22, 10, Et. Sym. 70, 1 S.): ἄεισι · παρὰ τὸ ἀῶ, τὸ πνέω, παράγωγον τῶν εἰς μι ἄημι, οὗ τὸ τρίτον ἄησι καὶ τὸ δυϊκὸν ἄετον καὶ κατ' ἔκτασιν ἄητον, οἷον „τώ τ' ἐκ Θρῄκηθεν ἄητον" (I 5), ἐξ οὗ καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἄεισιν Αἰολικώτερον· ἐχρῆν γὰρ ἀεῖσιν, ὥσπερ ἱεῖσιν· „ἄλλοτε δ' ἄλλῃ ἄεισιν" (Hes. Th. 875). οὕτω Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὐτοῦ. Et. [5]

356 Gen. B s. v. ἀέντες (unde EM 20, 24, Et. Sym. 76, 13 S.): ἀέντες · ἔστιν ἀῶ περισπώμενον· ὅτι δέ ἐστι περισπώμενον δῆλον ἐκ τοῦ ἄησις καὶ ἄημι· καὶ οἱ Αἰολεῖς τὴν ἀῶν μετοχὴν καθὰ ποιῶν καὶ φιλῶν ἀεὶς ἐροῦσιν, ὡς φιλεὶς καὶ ποιείς, καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἀέντες, ἡ γενικὴ ἀέντων, ὡς ποιέντων, οἷον καὶ „ἀνέμων μένος ὑγρὸν ἀέντων" (ε 478). εἰ δὲ ἦν βαρύτονον, ἄεντες ἂν ἐρρήθη· „πνοιῇσιν λιγυρῇσι διασκιδνᾶσιν ἀέντεσ" (Ε 526). οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὐτοῦ. Et. [5]

357 Gen. B s. v. ἄητον (unde EM 23, 11, Et. Sym. 86, 23 S.): ἄητον · ὥσπερ παρὰ τὸ φιλῶ γίνεται φιλεῖτον, οὕτως καὶ παρὰ τὸ ἀῶ ἀεῖτον τὸ δυϊκόν, καὶ παρ' Αἰολεῦσιν ἄητον, ὡς ποίητον. εἰ γὰρ ἦν βαρύτονον, ἄετον ὤφειλεν εἶναι, ὡς λέγετον τύπτετον. ἢ παρὰ τὸ ἀῶ γίνεται παράγωγον ἄημι καὶ τὸ τρίτον ἄησι καὶ τὸ δυϊκὸν ἄετον καὶ κατ' ἔκτασιν ἄητον. οὕτως ὁ Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὐτοῦ. Et. [5]

358 Gen. B s. v. αἶθος (deest A), unde EM 32, 30, Et. Sym. 120, 12 S: αἶθος · ἰστέον ὅτι αἶθός ἐστιν ὁ αἴθων, παρὰ τὸ αἴθω, τὸ καίω, αἰθὸς δὲ ὁ αἰθόμενος. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὐτοῦ. Et.

359 Gen. B s. v. αἰνετός (deest A), unde EM 36, 29, Et. Sym. 130, 22 S.: αἰνετός · ἐκ τοῦ αἰνέσω αἰνεστὸς καὶ αἰνετὸς κατ' ἔνδειαν τοῦ ς. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὐτοῦ. Et.

360 Gen. AB s. v. ἀλήτης (unde EM 61, 54): ἀλήτης · σημαίνει τὸν πλανήτην. καὶ δεῖ γινώσκειν, ὅτι ὥσπερ τὸ κομήτης καὶ πεδήτης καὶ πλανήτης οὐ ῥηματικὰ ἀλλὰ παρώνυμα· ἀπὸ γὰρ τοῦ πέδη πεδήτης καὶ πλάνη πλανήτης καὶ κόμη κομήτης. οὕτως καὶ παρὰ τὸ ἄλη, ὃ σημαίνει τὴν πλάνην, γίνεται ἀλήτης. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὐτοῦ. Et. [5]

361 Gen. AB s. v. ἄλιππα (unde EM 64, 40): ἄλιππα · παρὰ τὸ ἀλείφω γίνεται ἄλιμμα καὶ Αἰολικῶς ἄλιππα. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὐτοῦ. Et.

362 Gen. AB s. v. ἀλφίτου ἀκτήν (unde EM 73, 23): ἀλφίτου ἀκτήν · τὸ ἀλφίτου ἀκτὴν κατὰ ἀφαίρεσιν εἰρῆσθαι· εἶναι γὰρ μακτήν. οἱ δέ φασιν {ὅτι} ἀλφίτου ἀκτὴν εἰρῆσθαι, ὅτι ἄκρον ἐκάλουν τὸν καρπόν· ἔνθεν καὶ ἀκρόδρυα. ἢ ὅτι ὥσπερ ὁ εἰς θάλασσαν καθήκων τόπος ἔσχατος ὢν τῆς ἠπείρου ἀκτὴ λέγεται, οὕτω καὶ τὸ ἔσχατον τοῦ ἀλεύρου εἶναι προπονηθέντων εἰς τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καρπόν. ἢ ἀπὸ τοῦ ἄσσεσθαι ὑπὸ τοῦ μύλου καθάπερ καὶ τὰ κύματα τῆς θαλάσσης ἐν τῷ αἰγιαλῷ, ὃς ἀκτὴ καλεῖται. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὑτοῦ. Et.

363 Gen. AB s. v. ἀνάκτωρ (unde EM 96, 46): ἀνάκτορον · οὐ πεποίηται παρὰ τὸ ἀνάκτωρ· οὐδενὶ γὰρ τούτων τῶν ῥηματικῶν παράκειται οὐδετέρου παρασχηματισμός. πεποίηται οὖν παρὰ τὸ ἀνάκτορος. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὑτοῦ. Et.

364 Gen. AB s. v. ἀναδούμενος (unde EM 96, 15): ἀναδούμενος · παρὰ τὸ δέω δέσω δέδεκα, ἡ μετοχὴ δεόμενος καὶ ἀναδεόμενος καὶ κατὰ συναίρεσιν ἀναδούμενος. οὕτω Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὑτοῦ. Et.

365 Gen. A s. v. ἀπήορος (gl. om. B), unde EM 121, 24: ἀπήορος · ὁ ἀπηρτισμένος καὶ διεστώς. παρὰ τὸ ἀείρω ἀπάορος καὶ ἀπήορος. Φιλόξενος Ῥηματικῷ. Et.

366 Gen. AB s. v. ἀρεστός (unde EM 138, 40): ἀρεστός · οὐκ ἀπὸ τοῦ ἀρέσκω· ἔδει γὰρ ἀρεκτὸς εἶναι. ἀλλὰ ἀπὸ τοῦ ἀρέσω ἀρεστός. Φιλόξενος Ῥηματικῷ. Et.

367 Gen. AB s. v. ἄσχετος (unde EM 161, 16): ἄσχετος · ὁ δὲ σχετὸς καὶ ἄσχετος οὐ πεποίηται παρὰ τὸ σχέθω· ἐλέγετο γὰρ ἂν σχέτος καὶ ἄσχετος. ἀλλὰ παρὰ τὸ σχῆμι, ἀφ’ οὗ καὶ ἔσχηκα ὁ παρακείμενος καὶ ἐσχέθην ὁ ἀόριστος καὶ ὁ μέλλων σχήσω· ἐξ οὗ καὶ ἡ σχέσις. καὶ ὡς παρὰ τὸ τίθημι γίνεται θετὸς καὶ ἄθετος καὶ εὔθετος καὶ ἵημι ἑτὸς καὶ ἄφετος καὶ δίδωμι δοτὸς καὶ Ἡρόδοτος, καὶ δέδεμαι δετός, οὕτως σχῆμι σχετὸς καὶ ἄσχετος. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὑτοῦ. Et.

368 Gen. AB s. v. ἄτμητος (unde EM 164, 43): ἄτμητος · τὸ τμητὸς καὶ ἄτμητος οὐ πεποίηται ἀπὸ τῶν εἰς μνω· οὐ γὰρ παρὰ τὸ τέμνω, ἀλλ’ ἀπὸ τοῦ τέμω γίνεται τομὴ ῥηματικὸν ὄνομα, ὡς δέμω δομὴ καὶ οἰκοδομὴ καὶ νέμω νομή. ἐκ δὲ τοῦ τομὴ γίνεται ῥῆμα τομῶ, ὡς φωνὴ φωνῶ, σκηνὴ σκηνῶ, τιμὴ τιμῶ. ἐκ δὲ τοῦ τομῶ γίνεται ῥηματικὸν ὄνομα τομητός, καὶ κατὰ συγκοπὴν τμητὸς καὶ ἄτμητος, ὡς καμητὸς κμητὸς καὶ ἄκμητος. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὑτοῦ. Et.

369 Gen. AB s. v. αὐτοκράτωρ (unde EM 173, 29): αὐτοκράτωρ · μεμπτέον οὖν τὴν συνήθειαν ἐπὶ τοῦ αὐτοκράτωρ ὀνόματος παρὰ τὸ κρατῶ κρατήτωρ 〈καὶ κράτωρ〉 εἶναι λέγειν· παρὰ γὰρ τὸ κραίνω κράντωρ ἐστὶ καὶ ἐν συνθέσει 〈αὐτοκράντωρ, ἀποβολῇ τοῦ ν〉 αὐτοκράτωρ. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὑτοῦ. Et.

370 Gen. AB s. v. ἀφετήρ (unde EM 176, 6): ἀφετήρ · ἀπὸ τοῦ ἵημι ἑτὴς καὶ ἑτὴρ καὶ ἀφετήρ. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὑτοῦ. Et.

371 Gen. AB s. v. ἄφεμα (unde EM 176, 4, Et. Sym. cod. V ap. Gaisf. EM 503 a): ἄφεμα · ἐκ τοῦ ἵημι, ἵεμαι, ἕμα καὶ ἐν συνθέσει ἄφεμα. οὕτως ὁ αὐτός. Et.

372 Gen. AB s. v. ἀφνήμων (unde EM 178, 10): ἀφνήμων · Ἀντίμαχος (fr. 86 Wyss)· „πολλὰ δὲ μῆλα τά περ ἀφνήμονας ἄνδρασ“. παρὰ τὸ ἄφενος γίνεται ἄφνος κατὰ συγκοπήν, ᾧ κέχρηται Πίνδαρος (fr. 219 Snell), οἷον „ὁ δ’ ἄφνει πέποιθεν“. ἐκ τούτου γίνεται ῥῆμα ἀφνῶ καὶ ἐξ αὐτοῦ ἀφνήμων. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὑτοῦ. Et.

373 Gen. AB s. v. βασιλεύτωρ (unde EM 189, 5): βασιλεύτωρ · παρὰ τὸ βασιλεύσω βασιλεύτωρ. Ἀντίμαχος ἐν πρώτῃ Θηβαΐδος (fr. 10 Wyss)· „οἷοι ἔσαν βασιλεύτορες Αἰγιαλήων“. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικόν. Et.

374 Gen. AB s. v. βοτήρ (unde EM 205, 57): βοτήρ · ... ὁ δὲ Φιλόξενος ἐν τῷ Ῥηματικῷ λέγει παρὰ τὸ βόσκω εἶναι βοκτήρ, καὶ ἀποβολῇ τοῦ κ βοτήρ. Et.

375 Gen. AB s. v. γενέθλη (unde EM 225, 20): γενὴ καὶ γενέθλη · ... παρὰ τὸ γεννῶ, ἀφ’ οὗ ὁ μέλλων γενήσομαι, γενέθρα καὶ Ἰακῶς γενέθρη, ὡς κολυμβῶ κολυμβήθρα, καὶ κατὰ τροπὴν γενέθλη·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅθεν καὶ τὸ γενή. ἀπὸ τοῦ γεν 〈ν〉 ῶ γενή, ὡς ἀπειλῶ ἀπειλή, εἰλῶ εἰλή, ὠνῶ ὠνή. Καλλίμαχος (fr. 511 Pf.)· „τὴν δὲ γενὴν οὐκ οἶδα“. Φιλόξενος Ῥηματικῷ. Et. [5]

376 Gen. AB s. v. δέμα (unde EM 255, 27): δέμα · ζητεῖται περὶ τοῦ δέμα καὶ ζέμα πῶς οὐ λέγεται δεῦμα καὶ ζεῦμα, ὥσπερ πνέω πνεῦμα καὶ ῥέω ῥεῦμα. ἄλλως τε εἰ ἔζεκα ὁ παρακείμενος, ὤφειλεν εἶναι τὸ ῥηματικὸν ὄνομα ζέσμα· ἔζεσμαι γὰρ ὁ παρακείμενος. λέγεται ὅτι τὸ δέμα ὑγιές ἐστιν ἀπὸ τοῦ δέδεμαι παρακειμένου καὶ τὸ ζέσμα παρῃτήσατο τὸ ς. οὕτως Φιλόξενος εἰς τὸ Ῥηματικόν. a. [5]

377 Et. Gen. B s. v. ἄϊστος (deest A), unde EM 43, 15 (vide etiam Exc. ex cod. Voss. gr. 20 ap. H. Sell, Et. Sym. 216, 11): 〈 ἰστός 〉 · ὁ δὲ Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὑτοῦ οὕτως αὐτὸ γενέσθαι λέγει· ἀπὸ τοῦ εἴδω ἰστός, ὡς εἷμα ἱμάτιον. b. Choer. schol. Theod., Gramm. Gr. IV 2, 349, 11 Hilgard (quaeritur de origine verbi ἐπίσταμαι): ὁ δὲ Φιλόξενος λέγει, ὅτι ἐστὶν εἴδω εἴσω, ὃ σημαίνει τὸ γινώσκω, ἀφ’ οὗ τὸ ἰστός, ὃ σημαίνει τὸ ἐπιστήμων. Et. [5]

378 Gen. AB s. v. κέλευμα (unde EM 502, 19): κέλευμα · ἐκ τοῦ κελεύω κέλευμα. Σώφρων (fr. 25 Kaibel)· „οἵ γε μὰν κόγχοι ὥσπερ ἐξ ἑνὸς κελεύματοσ“. Φιλόξενος Ῥηματικῷ. Et.

379 Gen. AB s. v. νῆστις (unde EM 605, 22; Et. Sym. cod. V ap. Gaisf. EM 1721 D): νῆστις · ... ἢ ὡς λέγει Φιλόξενος εἰστὸ Ῥηματικὸν ἔδω ἔσω ἐστὸς καὶ ἔστις καὶ νήεστις καὶ νῆστις. Et.

380 Gen. AB s. v. ποθή (unde EM 678, 42): ποθή · ... ὁ δὲ Φιλόξενος εἰς τὸ Ῥηματικὸν αὑτοῦ λέγει, ὅτι ἀπὸ τοῦ πεύθω γέγονε πευθὴ καὶ ποθή. ΕΚ ΤΟΥ ΡΗΜΑΤΙΚΟΥ Et.

381* Gen. B s. v. ἄη (deest A), unde EM 23, 3; Et. Sym. 82, 20 S.: ἄη · ὥσπερ παρὰ τὸ φιλῶ γέγονεν ἐφίλει διὰ τῆς ει διφθόγγου, κατὰ δὲ Αἰολεῖς ἐφίλη διὰ τοῦ η, οὕτως καὶ παρὰ τὸ ἀῶ ἄει καὶ κατὰ Αἰολεῖς ἄη. καὶ Ὅμηρος (μ 325) „μῆνα δὲ πάντ’ ἄληκτος ἄη νότοσ“. Et.

382 Gen. B s. v. ἀκήρατος (vide Reitz., Gesch. p. 143; deest A), unde EM 47, 46; Et. Sym. ap. Reitz., Gesch. p. 143, Et. parv. s. v. ἀκήρατος: ἀκήρατος · παρὰ τὸ κηραίνω· καὶ ὤφειλεν εἶναι ἀκήραντος, ἀλλὰ ἀκήρατος ποιητικῶς. οὕτως Φιλόξενος. Et.

383 Gen. B s. v. ἄκρον (deest A), unde EM 53, 8: ἄκρος · ... ὁ δὲ Φιλόξενος παρὰ τὴν ἀκὴν ἄκερος καὶ κατὰ συγκοπὴν ἄκρος. Et.

384 Gen. AB s. v. ἁλιεύς (unde EM 63, 54): ἁλιεύς · παρὰ τὸ ἁλὸς ἅλιος καὶ ἁλιεύς, ὡς Αἰακίδης Αἰακιδεὺς καὶ ναύτης ναυτιεύς. οὕτως Φιλόξενος. Et.

385* Gen. AB s. v. ἀμίσαλλος (vide Reitz., Gesch. p. 26, 8), unde EM 83, 49 (vide Reitz., ibid. p. 240, 5), Et. Sym. ap. Reitz., ibid. p. 276, 12: ἀμίσαλλος · οἷον „ἀμίσαλλοί τε γέροντεσ“ (Call. fr. an. 738 Pf.). κατ’ ἔνδειαν τοῦ γ· ἀμίσγαλλος, ὁ δυσάρεστος, ὁ μὴ ἄλλῳ μισγόμενος. Et.

386 Gen. AB s. v. ἀμίστυλλον (vide Reitz., Gesch. p. 26, 11), unde EM 83, 47 (vide Reitz., ibid. p. 240, 3), Et. Sym. ap. Reitz., ibid. p. 276, 15: ἀμίστυλλον · σημαίνει τὸν μὴ κεκομμένον. „θέντες ἀμίστυλλον ταῦρον ἐπὶ σχαλίδων“ (Call. fr. 23, 15 Pf.). Φιλόξενος. Et.

387 Gen. AB s. v. ἄρυστις (unde EM 151, 2): ἄρυστις · ἄρυσις καὶ ἄρυστις. οὕτως Φιλόξενος. Et.

388 Gen. AB s. v. ἀφήτωρ (ex Methodio), unde EM 177, 21: ἀφήτωρ · ... εἴρηται παρὰ τὸ ἵημι ἕτης καὶ ἀφέτης, ὡς τίθημι θέτης καὶ δίδωμι δότης. ταῦτα δὲ γίνονται κατὰ τροπὴν εἰς ηρ, θέτης θετὴρ καὶ ἐν συνθέσει ὑμνοθετήρ, δότης δοτήρ· „θεοὶ δωτῆρες ἑάων“ (θ 325). οὕτως ἕτης ἑτήρ, καὶ ὡς δοτὴρ δώτωρ, οἷον „δῶτορ ἑάων“ (θ 335), οὕτως ἕτης ἕτωρ καὶ ἥτωρ καὶ ἀφήτωρ, ὁ ἀφιεὶς τὰ βέλη. οὕτως Φιλόξενος καὶ Μεθόδιος. Et. [5]

389 Gen. AB s. v. ἄφυκτος (unde EM 180, 12): ἄφυκτος · παρὰ τὸ φεύγω φευκτός, ὡς εὔχω εὐκτός, καὶ κατ’ ἔνδειαν τοῦ ε φυκτὸς καὶ ἄφυκτος. οὕτως Φιλόξενος. Et.

390*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Gen. AB s. v. βατήρ (unde EM 192, 6): βατήρ · … οὐ παρὰ τὸ βαίνω· ἐλέγετο γὰρ 〈ἂν〉 βαντήρ. ἀλλὰ παρὰ τὸ βίβημι βατήρ. Et.

391 Gen. AB s. v. βάτης (unde EM 192, 8): βάτης · παρὰ τὸ βαίνω βάντης ὤφειλεν εἶναι, ὡς φαίνω φάντης καὶ ἱεροφάντης. ἀλλ’ ἀπὸ τοῦ βίβημι βάτης καὶ διαβάτης καὶ ἱπποβάτης. Φιλόξενος. Et.

392 Gen. AB s. v. βατοδρόπος (unde EM 191, 56): βατοδρόπος (H. Merc. 190)· παρὰ τὸ δρέπω δρόπος καὶ βατοδρόπος. Φιλόξενος. Et.

393 Gen. AB s. v. βλάβη (unde EM 199, 16): βλάβη · ἀπὸ τοῦ βλάβω βλάβη. Ὅμηρος (Τ 166)· „βλάβεται δέ τε γούνατ’ ἰόντι“. ἔνθεν καὶ τὸ βλάβος. εἰ γὰρ ἦν ἀπὸ τοῦ βλάπτω, ὤφειλεν εἶναι βλαφή, ὡς σκάπτω σκαφή. οὕτως Φιλόξενος. Et.

394 Gen. AB s. v. γνήσιος (unde EM 236, 21): γνήσιος · ὁ μὴ νόθος. γενήσω γενήσιος, ὡς θαυμάσω θαυμάσιος, καὶ κατὰ συγκοπὴν γνήσιος, ὁ ἐκ τῆς αὐτῆς γεννηθείς. ἢ ἀπὸ τοῦ γενητὸς γενήσιος, ὡς πλοῦτος πλούσιος, καὶ κατὰ συγκοπὴν γνήσιος. οὕτως Φιλόξενος. Et.

395* Gen. AB s. v. δετή (unde Et. Sym. cod. V ap. Gaisf. EM 744 FG): δετή · ἡ λαμπάς. „καιόμεναί τε δεταί“ (Λ 554). ἀπὸ τοῦ δίδημι ῥήματος, ἀφ’ οὗ Ὅμηρος ἔφη τὸν παρατατικὸν (Λ 105) „δίδη μόσχοισι λύγοισι“. ὡς γὰρ ἀπὸ τοῦ τίθημι θετὸς καὶ εὔθετος καὶ ἵημι ἑτὸς καὶ ἄφετος καὶ δίδωμι δοτὸς καὶ Ἡρόδοτος, οὕτως δίδημι δετὸς καὶ δετή, ἡ ἐκ δεδεμένων δᾴδων λαμπάς. Et.

396 Gen. A I A II B s. v. ἐδητύς (unde EM 316, 31): ἐδητύς · σημαίνει βρῶσιν ἢ τρυφήν. παρὰ τὸ ἐδῶ ἐδήσω ἐδητύς. εἰ γὰρ ἦν ἐκ τοῦ ἔδω βαρυτόνου, ἐτὺς ὤφειλεν εἶναι ἰσοσύλλαβον τῷ ἔδω, ὥσπερ γράφω γραπτύς, πράσσω πρακτύς. καὶ παρὰ τὸ ἔδω ἐστὸν ὤφειλεν εἶναι, οὐχὶ δὲ ἐδεστόν. οὕτως Φιλόξενος. Et.

397 Gen. B s. v. ἔνθ’ εἴην (gl. om. A), unde EM 342, 15: ἔνθ’ εἴην (Ο 82)· οὐκ ἔστι τρίτον πρόσωπον εὐκτικόν, ἀλλὰ πρῶτον· οὐ γὰρ δύναται τὰ τρίτα τῶν εὐκτικῶν προσλαμβάνειν τὸ ν, ἵνα μὴ συνεμπέσῃ τῷ πρώτῳ. Φιλόξενος δὲ λέγει κατὰ διάλεκτον γεγενῆσθαι. ἔστιν εἴω τὸ ῥῆμα· „ἐγκίκρα, ὡς εἴω“ (Sophr. fr. 48 Kaibel). τὸ ἀπαρέμφατον εἴειν· τὸ γὰρ λέγειν καὶ φέρειν οἱ Αἰολεῖς λέγην καὶ φέρην λέγουσι διὰ τοῦ η. οὕτως οὖν καὶ τὸ εἴειν εἴην Αἰολικόν· ὥστε ἀπαρέμφατον κατέκλεισε τὴν διάνοιαν. Et.

398* Gen. AB s. v. ζέμα (unde EM 408, 38): ζέμα · τὸ θερμόν. παρὰ τὸ ζέω ζέμα. Et.

399 Gen. AB s. v. Φερσεφόνη (unde EM 790, 52): Φερσεφόνη· παρὰ τὸν φέρσω μέλλοντα· ἡ φέρουσα πάντα καὶ φθείρουσα· ἡ αὐτὴ γάρ ἐστι τῇ γῇ. οὕτω Φιλόξενος. Et.

400 Gen. B s. v. χρέος (deest A), unde EM 814, 23: χρέος · οὐκ ἀπὸ τοῦ χρῶ, ἀλλ’ ἀπὸ τοῦ χρέω καὶ χρέομαι. Σώφρων (fr. 126 Kaibel)· „τῷ χόλῳ χρέομαι“. οὕτω Φιλόξενος. ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΟΔΥΣΣΕΙΑΝ Steph.

401 Byz. 66, 7. 15 M.: Ἀλάβανδα · πόλις Καρίας, ἥ ποτε Ἀντιόχεια … ὁ πολίτης Ἀλαβανδεὺς οὕτως ἀναγράφεται. λέγεται καὶ κτητικὸν Ἀλαβανδιακὸς καὶ Ἀλαβανδιακὸν σύγγραμμα, ἐξ οὗ καὶ ἀλαβανδιακὸς σολοικισμός, ὡς Φιλόξενος 〈ὁ〉 τὴν Ὀδύσσειαν ἐξηγούμενος, ὅταν ἡ μὴ ἀπαγόρευσις ἀντὶ τῆς οὐ κεῖται, ὡς τὸ „μὴ δι’ ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων 〈πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ’ ἀρήγει〉“ (Ο 41—42). a.

402 Steph. Byz. 246, 6 M.: Δωδώνη · πόλις τῆς Μολοσσίδος ἐν Ἠπείρῳ, καθ’ ἣν Δωδωναῖος Ζεύς· „Δωδώνης μεδέων δυσχειμέρου“ (Π 234). καὶ Διονύσιος (Per. 430) „Δωδώνης ἤπειρος ἀπείριτος ἐκτετάνυσται“. Φιλόξενος δὲ ὁ τὴν Ὀδύσσειαν ὑπομνηματίζων δύο φησί, Θετταλικὴν καὶ Θεσπρωτικήν, οὕτως· „Δωδώνην νῦν φησι τὴν Θεσπρωτικήν, ἐν ᾗ τὸ μαντεῖον ἐκ τῆς δρυός, ἑτέρα δὲ ἡ Θετταλική, ἀφ’ ἧς ὁ Ἀχιλλεὺς καλεῖ τὸν Δία“. b. Schol. H ad ξ 327: τὸν δ’ ἐς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δωδώνην· Δωδώνην νῦν τὴν Θεσπρωτικήν, ἔνθα τὸ μαντεῖον ἦν τοῦ Διός. ἑτέρα δέ ἐστιν ἡ Θεσσαλική, ἀφ’ ἧς Ἀχιλλεὺς καλεῖ τὸν Δία· „Ζεῦ ἄνα Δωδωναῖε Πελασγικέ“ (Π 233). EX COMMENTARIO IN ODYSSEAM Et.

403 Gen. AB s. v. ἀνὰ ῥῶγας (unde EM 99, 4, Et. Sym. cod. V ap. Gaisf. EM 1990 B s. v. ῥῶγας): ἀνὰ ῥῶγας · „ἀνὰ ῥῶγας μεγάροιο“ (χ 143). τὰς ἐν τῷ μεγάρῳ διόδους. οἱ δὲ τὰς ἀναβάσεις, ἀπὸ τοῦ διεστάναι. ὁ δὲ Φιλόξενος ἀμφίβολον εἶναί φησι, πότερον οὐδετέρως ῥῶγας, ὡς τὸ κῶας, ἵν’ ᾖ τὸ ἀνάρρηγμα τοῦ τοίχου, ἢ τὰς ῥῶγας, ἵν’ ᾖ τὰς ῥαγάδας. βέλτιον δὲ τὸ πρότερον. a.

404 Et. Gen. A II B s. v. ἐξ εὐηγεσίης (e schol. Hom.): ἐξ εὐηγεσίης (τ 114)· Ἀρίσταρχος ψιλῶς ἀναγινώσκει (Cf. Luswich Arist. Hom. Textkritik I 626, 10)· ἠγὸν γὰρ ὑπὸ Ἰώνων λέγεσθαι τὸν εὐδαίμονα ὡς τετελευτηκότα. Καλλίστρατος δὲ δασέως καὶ ἀπέδωκεν ἐξ εὐαρχίας παρὰ τὸ ἡγεῖσθαι. οὕτω Φιλόξενος. b. Et. Gen. A I B s. v. εὐηγεσία (unde EM 390, 36, Et. Sym. cod. V ap. Gaisf. EM 1120 E): εὐηγεσία · σημαίνει τὴν εὐδαιμονίαν, οἷον „ἐξ εὐηγεσίησ“ (τ 114)· ἠγὸν γὰρ τὸν εὐδαίμονα λέγουσιν Ἴωνες. δύναται δὲ καὶ ἐπὶ εὐαρχίας λαμβάνεσθαι, παρὰ τὸ ἡγεῖσθαι. Schol.

405 HQ ad ι 106: Κυκλώπων δ’ ἐς γαῖαν· ζητεῖ Ἀριστοτέλης (fr. 172 Rose) πῶς ὁ Κύκλωψ ὁ Πολύφημος μήτε πατρὸς ὢν Κύκλωπος, Ποσειδῶνος γὰρ ἦν, μήτε μητρός, Κύκλωψ ἐγένετο. αὐτὸς δὲ ἑτέρῳ μύθῳ ἐπιλύεται· καὶ γὰρ ἐκ Βορέου ἵπποι γίνονται καὶ ἐκ Ποσειδῶνος καὶ τῆς Μεδούσης ὁ Πήγασος ἵππος. τί δ’ ἄτοπον ἐκ Ποσειδῶνος τὸν ἄγριον τοῦτον γεγονέναι; ὥσπερ καὶ τὰ ἄλλα ἐξ αὐτοῦ ἀναλόγως τῇ θαλάσσῃ ἄγρια γεννᾶται ἢ τερατώδη ἢ παρηλλαγμένα. γελοίως δ’ αὐτοὺς ἐτυμολογεῖ Ἡσίοδος (Th. 144—145) „Κύκλωπες δ’ ὄνομ’ ἦσαν ἐπώνυμον, οὕνεκ’ ἄρα σφέων / κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ“. ὁ δ’ Ὅμηρος φαίνεται φύσιν αὐτῶν λέγων· εἰ γὰρ ἦν τι τοιοῦτον, ὥσπερ τὰς ἄλλας ἰδιότητας τῶν ὀφθέντων ἔγραψεν ἐπ’ αὐτοῦ Κύκλωπος, τὸ μέγεθος, τὴν ὠμότητα, οὕτω κἂν τὸ περὶ τοῦ ὀφθαλμοῦ ἔγραψε. φησὶ δὲ ὁ Φιλόξενος ὅτι ἐπλάνησε τὸν Ἡσίοδον τὸ τὸν ἕνα ὀφθαλμὸν τυφλωθέντα μηκέτι ὁρᾶν. οὔτε δὲ περὶ πάντων τῶν Κυκλώπων εἶπε τοῦτο Ὅμηρος, εἰκός τε τὸν Πολύφημον κατά τινα ἄλλην αἰτίαν τὸν ἕτερον τῶν ὀφθαλμῶν ἀπολωλεκέναι πρὸ τῆς Ὀδυσσέως ἀφίξεως. οἱ δὲ ἀντιλέγοντες τούτῳ φασίν, εἰ δύο εἶχεν ὀφθαλμοὺς καὶ τὸν ἕνα Ὀδυσσεὺς ἐτύφλωσε, πῶς συμφωνήσει τὸ ὑπ’ αὐτοῦ λεγόμενον, „Κύκλωψ, εἰ καί τίς σε καταχθονίων ἀνθρώπων / ὀφθαλμοῦ εἴρηται ἀεικελίην ἀλαωτύν“ (ι 502—503). οὐκ εἶπεν ὀφθαλμῶν. ἔτι δὲ καὶ τὸ προκείμενον παρὰ τοῦ Κύκλωπος, ὅτι δύναταί μου ὁ Ποσειδῶν ἰάσασθαι τὸν ὀφθαλμόν. εἰ γὰρ ἦν ἑτερόφθαλμος ἤδη ὑπάρχων, ἔλεγεν ἂν αὐτῷ Ὀδυσσεύς, καὶ πῶς τὸν ἕτερον οὐκ ἐθεράπευσεν; ἀλλ’ εἶπεν· „ὡς οὐκ ὀφθαλμόν γ’ ἰήσεται οὐδ’ ἐνοσίχθων“ (ι 525). δι’ αὐτοῦ δὲ τούτου ἀπολογοῦνται περὶ τοῦ εἶναι αὐτὸν διόφθαλμον, διὰ τοῦ εἰπεῖν, εἰ τὸν πρῶτον πηρωθέντα ὀφθαλμὸν οὐκ ἐθεράπευσεν, οὐδὲ τοῦτον ἰάσεται. Schol.

406 HQ AD ι 22: Νήριτον · ὁ Φιλόξενος Νήϊον αὐτό φησι διὰ τὸ „ἡμεῖς {δ’} ἐξ Ἰθάκης ὑπονηΐου εἰλήλουθμεν“ (γ 81). τινὲς δὲ Νήϊον, ὥσπερ ὁ Κράτης (fr. 43 a Mette), τὸν περὶ τὸν λιμένα τόπον, ἐν ᾧ ἦν συνηρεφὴς τόπος, ἱερὸν νυμφῶν· ἀφ’ οὗ καὶ τὰς Νύμφας κοινῶς Νηϊάδας προσαγορεύεσθαι. ἀπὸ τοῦ Νηΐου· „ἱρὸν νυμφάων, αἳ Νηϊάδες καλέονται“ (ν 104). ΠΕΡΙ ΠΡΟΣΩΙΔΙΩΝ Schol.

407 A ad A 231a Erbse (ex libro Nican. Περὶ Ὁμηρικῆς στιγμῆς, vide Nican. p. 146 Friedl.): δημοβόρος βασιλεύς · καθ’ ἑαυτὸ τοῦτο ἀναγνωστέον, ὡς καὶ Φιλοξένῳ ἐν τῷ Περὶ προσῳδιῶν δοκεῖ, ἵνα τὸ κομματικὸν τῆς προφορᾶς τὴν ὀργὴν μᾶλλον ἐμφαίνῃ. δύναται δὲ καὶ τὸ εἶ ῥῆμα λείπειν, ὑφ’ ἓν ἡμῶν ὅλον προφερομένων τὸν στίχον, ἵν’ ᾖ δημοβόρος εἶ βασιλεύς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις. ἀλλ’ οὐκ ἐπείγει. EX LIBRO ΠΕΡΙ ΠΡΟΣΩΙΔΙΩΝ Schol.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

408 A ad E 638c Erbse (ex Herod., vide 2, 52, 9 L.): ἀλλ’ οἶον · Νικίας (fr. 9 Berndt) ψιλοῖ ἐκδεχόμενος τὸ μόνον. ἄλλοι δὲ δασύνουσι θαυμαστικῶς ἐκδεχόμενοι, ὡς καὶ Ἡρακλέων (fr. 3 Berndt), ἵνα ὅμοιον ᾖ τῷ „ἀλλ’ οἷον τὸν Τηλεφίδην“ (λ 519). κέχρηται μὲν οὖν αὐτῷ καὶ ὁμοιωματικῶς „οἷόν τε κρομύοιο λοπόν“ (τ 233) καὶ ἀντὶ τοῦ ὡς, „οἷον ἀναΐξασ“ (α 410). Τυραννίων δὲ (fr. 14 Planer) ἀλλοῖον ἀναγινώσκει ὡς ἑτεροῖον, ὁμοίως τῷ „ἀλλοῖός μοι, ξεῖνε“ (π 181). ἡμῖν δὲ δοκεῖ θαυμαστικώτερον ἀναγινώσκειν, ὥσπερ καὶ τοῖς περὶ Ἡρακλέωνα, ἵνα ὅμοιον ᾖ τῷ „ὀσσάτιόν τε καὶ οἷον“ (Ε 758) καὶ „ἀλλ’ οἷον τόδ’ ἔρεξεν“ (δ 242), „οἷον τὸν Τηλεφίδην“ (λ 519). οὕτως ἀρέσκει καὶ Φιλοξένῳ. Schol.

409 A ad Π 669a (ex Herod., vide 2, 103, 12 L.): πολλὸν ἀπὸ πρὸ φέρων · τινὲς τὴν ἀπὸ ἀναστρέφουσιν, ἵνα σημαίνῃ τὸ ἄπωθεν, ὥσπερ καὶ ὁ Ἀσκαλωνίτης (p. 56 Baege). εἰσὶ μέντοι οἳ παρολκὴν ἐδέξαντο τῆς πρὸ καὶ ἐφύλαξαν τῆς ἀπό τὴν προσῳδίαν, ἵνα ᾖ τὸ ἑξῆς ἀποφέρων. οὕτως δὲ καὶ Φιλόξενος ἠξίου, ἐπεὶ πολλή ἐστι παρέλκουσα ἡ πρό· „νώτου ἀπὸ πρὸ ταμών“ (θ 475)· „ἡ δὲ διὰ πρὸ Πηλιὰς ἤϊξε“ (Υ 276)· „περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν“ (Π 699). οὕτως δὲ καὶ ἐγὼ συγκατατίθεμαι. Schol.

410 A ad Χ 28 (ex Herod., vide 2, 119, 16 6 L.): πολλοῖσι μετ’ ἄστρασι · Ἀρίσταρχος (cf. Lehrs, Arist. 3 p. 296) ὡς πατράσιν. ἄμεινον δὲ προπαροξύνειν, ὥσπερ καὶ τοῖς πλείοσιν ἔδοξε καὶ Φιλοξένῳ, ἵνα αὐτῆς τῆς πτώσεως, λέγω δὲ τῆς δοτικῆς, μεταπλασμὸν λάβωμεν· ὅτι γὰρ κατὰ πτῶσιν γίνονται μεταπλασμοὶ ἐξουσίᾳ ποιητικῇ δεδήλωταί μοι ἐν ἑτέροις. ὃν οὖν τρόπον ἡ ἐγκάτοις ἔγκασιν ἐγένετο· „ἔγκασι φωτόσ“ (Λ 438) καὶ οὐκ ἀναγκαζόμεθα ἑνικὴν εὐθεῖαν ἀκόλουθον ἐπιζητεῖν, ἥ τε προβάτοις πρόβασιν, ἥ τε πετάλοις πέταλσιν, οὕτως ἄστροις ἄστρασι ἐπεισελθόντος τοῦ α ἵνα συστῇ ἡ λέξις. Schol.

411 A ad Ω 665 (ex Herod., vide 2, 128, 20 L.): δαινῦτό τε λαός · προπερισπαστέον, ὡς καὶ Φιλοξένῳ δοκεῖ, ἵνα ᾖ ἐκ τοῦ δαινύατο τοῦ πληθυντικοῦ συναλιφή, ὡς „πυθοίατο“ (Α 257). ὡς οὖν τοὺς νέκυας νέκυς ἔφη καὶ τὸ δαινύατο δαινῦτο, οὕτως ἔχει καὶ τὸ „λελῦτο δὲ γυῖα ἑκάστου“ (ς 238). οὐδὲν δὲ θαυμαστόν, εἰ πληθυντικόν ἐστι τὸ δαινῦτο καὶ τὸ λαὸς ἑνικόν· τῷ γὰρ σημαινομένῳ ἡ σύνταξις ἐγένετο ὁμοίως τῷ „ἀγρόμενοι πᾶς δῆμοσ“ (Υ 166). EX LIBRO ΠΕΡΙ ΕΘΝΙΚΩΝ Cyrilli Lex.

412 codd. bmN (de cod. b vide Cramer, AP 4, 184, 22; de codd. bmN vide K. Latte in Hesych. κ 224): Κάϊκος · ποταμὸς Μυσίας, ὡς Δημήτριος καὶ Φιλόξενος μαρτυρεῖ. FRAGMENTA INCERTAE SEDIS EM 1, 34 (ex Et.

413 Gen.), Et. Sym. 2, 15 S.: ἀάπτους · οἷον „ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω“ (Α 567). παρὰ τὸ ἅπτω ἁπτοὺς καὶ ἀάπτους, ἤγουν τὰς ἄγαν ἁπτομένας. ἢ ὧν οὐκ ἄν τις ἅψαιτο, οἱονεὶ ἀπροσίτους, ἀπροσπελάστους· τὸ δὲ „καθαπτὸς ἐν πεύκαισι Παρνασοῦ“ παρ’ Εὐριπίδῃ (Hypsip. fr. 752, 2 N. 2 = p. 23 Bond) ἐκ τοῦ καθάπτω γέγονε καθαπτός. οὕτω Φιλόξενος. Et.

414 Gud. 3, 11 Stef.: ἁβρός · παρὰ τὸ ἅπτω, ὁ εὐαφής. οὕτω Φιλόξενος. Or.

415 29, 6: ἀγαθός · ... ὁ δὲ Φιλόξενός φησι σύνθετον αὐτὸ παρὰ τὸ ἄγαν καὶ θεῖος καὶ συνθέσει καὶ συγκοπῇ ἀγαθός· ὅθεν οὐ λέγεται ἀγαθώτερος 〈οὔτε ἀγαθώτατοσ〉, ἵνα μὴ ὦσιν ὡς δύο ἐπιτάσεις, ἀπὸ τοῦ ἄγαν καὶ τῆς συγκριτικῆς παραγωγῆς. Or.

416* 22, 17 in sede Philoxeni (unde Et. Gen. B s. v. ἀγυιά = EM 14, 21; Et. Sym. 46, 8 S.; Συναγωγή, Bekker AG I 332, 18): ἀγυιά · ἡ ὁδός. παρὰ τὸ ἄγω, τὸ πορεύομαι, οἷον „Λαοδίκην ἐσάγουσα θυγατρῶν εἶδος ἀρίστην“ (Ζ 252). Or.

417 20, 23: αἴγλη · 〈παρὰ τὸ〉 ἀΐσσω, ἀΐξω, κατὰ συναίρεσιν αἴξω, ὄνομα αἴγλη· ἡ ὀξέως ἀποπεμπομένη. οὕτω Φιλόξενος. Or.

418*

21, 7 in sede Philoxeni (unde Et. Gen. B s. v. ἀϊδνός = EM 41, 47; Et. Sym. 154, 26 S.): ἀϊδνός · εἴδω, τὸ βλέπω ἢ φαίνω, ῥηματικὸν ὄνομα ἰδνὸς καὶ μετὰ τοῦ στερητικοῦ α ἀϊδνός, ὡς στίλβω στιλπνός· ἐξ οὗ καὶ Ἀϊδωνεύς, ὁ Ἅιδης, εἰς ὃν οὐκ ἔστιν ἰδεῖν. a.

419* Or. 24, 1 in sede Philoxeni; Or. 612, 37 Werf. (codd. HI): αἴξ · παρὰ τὸ ἀΐσσω, τὸ ὁρμῶ, οὗ ὁ μέλλων ἀΐξω, ἀποβολῇ τοῦ ω καὶ συναλιφῇ αἴξ· ὁρμητικὸν γὰρ τὸ ζῷον. b. Et. Gen. B s. v. αἴξ (unde EM 36, 51 = Et. Sym. 134, 8 S.): αἴξ · τὸ ζῷον. παρὰ τὸ ἀΐσσω, τὸ ὁρμῶ, ἀΐξω, ἀποβολῇ τοῦ ω γίνεται ἄϊξ καὶ κατὰ συναίρεσιν αἴξ. Or.

420* 21, 11 in sede Philoxeni: αἴσυλος · ἀπὸ τοῦ ἄσω μέλλοντος τοῦ δηλοῦντος τὸ βλάψω 〈ἄσυλος καὶ αἴσυλοσ〉 . a.

421 Cyrilli Lex. codd. b N (de cod. b vide Cramer, AP 4, 179, 11): αἰχμή · παρὰ τὸ ἀΐσσω. οὕτω Φιλόξενος. καὶ ἴσως ὅτι εὐκίνητος 〈 *** 〉 τὸ λεπτόν. b. Et. Gen. B s. v. αἰχμή (unde EM 40, 33): αἰχμή · παρὰ τὸ ἀΐσσω ἀϊχὴ καὶ κράσει αἰχὴ καὶ πλεονασμῷ τοῦ μ αἰχμή, ὡς δράξω δραχμή, τὸ λεπτὸν νόμισμα. a.

422* Or. 24, 12 in sede Philoxeni: ἄκατος · μικρὸν πλοῖον. ἐκ τοῦ ἄγω ἄξω ἀκτὸς καὶ ἄκατος, ὡς ἀπὸ τοῦ λέπω λεπτός. b. Et. Gen. B s. v. ἄκατος (unde EM 45, 38): ἄκατος · τὸ μικρὸν πλοῖον … παρὰ τὸ ἄγω γίνεται ἀκτὸς καὶ πλεονασμῷ τοῦ α ἄκατος, ἡ ἄγουσα καὶ διακομίζουσα. Or.

423* 21, 14 in sede Philoxeni (unde Et. Gud. 63, 23 Stef.): ἀκέραιος · παρὰ τὸ κερῶ, οὗ παράγωγον κεραίω 〈 *** 〉 ὁ μὴ κεκραμένος κακοῖς, ἀλλ᾽ ἁπλοῦς. Or.

424* 22, 24 in sede Philoxeni (unde Et. Gen. B s. v.. ἀκόνη = EM 50, 28): ἀκόνη · παρὰ τὴν ἀκήν, τὴν ὀξύτητα. Or.

425 22, 22 (unde Et. Gen. B s. v. ἀκροῶ = EM 54, 3): ἀκροῶ · παρὰ τὸ ἀκούω ἀκοῶ, ὥσπερ σύρω συρῶ καὶ κύρω κυρῶ, καὶ πλεονασμῷ τοῦ ρ ἀκροῶ. οὕτω Φιλόξενος. a.

426* Or. 22, 28 in sede Philoxeni: ἀκτίς · παρὰ τὸ ἀΐσσω ἀΐξω ἀκτός· καὶ παρώνυμον ἀκτίς· ἡ ἀΐσσουσα πανταχόθεν. b. Et. Gen. B s. v. ἀκτίς (unde EM 54, 24): ἀκτίς · … ἢ ἀπὸ τοῦ ἀΐσσω τοῦ σημαίνοντος τὸ ὁρμῶ ὁ μέλλων ἀΐξω ἤϊχα ἤϊγμαι ἤϊκται ἀκτίς· ἡ γὰρ ἀκτὶς τοῦ ἡλίου ὁρμητική ἐστιν. Or.

427* 23, 21 in sede Philoxeni: ἀλαλάζειν · ἐκ τοῦ λαλῶ λαλήσω 〈λαλάζω〉 καὶ ἀλαλάζω, ὡς τὸ σιγῶ σιγάζω. Or.

428* 21, 16 in sede Philoxeni: ἀλαός · ὁ τυφλός, κατὰ στέρησιν τοῦ λάειν ἢ βλέπειν. παρ᾽ Ὁμήρῳ (τ 230)· „λάε νεβρὸν ἀπάγχων“. Et.

429 Gen. B s. v. ἀλαστός (ex Orione), unde EM 57, 41: ἀλαστός · … ὁ δὲ Φιλόξενος λέγει, ὅτι ἔστι ῥῆμα ἀλῶ τὸ σημαῖνον τὸ πλανῶ, καὶ 〈ἐξ αὐτοῦ〉 γίνεται παράγωγον ἀλάζω, ὡς ἀνιῶ ἀνιάζω καὶ σκεδῶ σκεδάζω· ἐκ δὲ τοῦ ἀλάζω ἀλαστός, ὡς σκευάζω σκευαστός, καὶ ἐξ αὐτοῦ πάλιν ῥῆμα ἀλαστῶ τὸ σημαῖνον τὸ χαλεπαίνω· οἱ γὰρ πλανώμενοι χαλεπαίνουσιν. ἀλαστὸς δὲ λέγεται ὁ λήθης ἄξια ποιῶν διὰ τὴν κακοπραξίαν. οὕτως Ὠρίων a.

430* Or. 612, 34 Werf. in sede Philoxeni (codd. HI): ἀλέκτωρ · παρὰ τὸ λέγω τὸ σημαῖνον τὸ κοιμῶ 〈μαι〉 λέκτωρ καὶ μετὰ τοῦ στερητικοῦ α ἀλέκτωρ· ἀγρυπνητικὸν γὰρ τὸ ζῷον. b. Et. Gen. AB s. v. ἀλέκτωρ (unde EM 60, 29): ἀλέκτωρ · τὸ ζῷον τὸ κατοικίδιον. παρὰ τὸ λέγω, τὸ κοιμῶμαι, οἷον „τῷ δ᾽ ἄρα παρκατέλεκτο γυνή“ (I 664), ῥηματικὸν ὄνομα λέκτωρ καὶ ἀλέκτωρ, ὁ ἐλάχιστα κοιμώμενος. a.

431* Or. 20, 20 et 612, 28 Werf. in sede Philoxeni (unde Et. Gud. 106, 19 Stef.): ἅμαξα · ἐκ τοῦ ἄγω ἄξω ἄξα καὶ ἐν συνθέσει ἅμαξα. b. Et. Gen. AB s. v. ἅμαξα (vide Reitz., Gesch. p. 19, 1), unde EM 77,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

10, Et. Sym. ap. Reitz., Gesch. p. 272, 12; Et. Gud. 106, 13. 21 Stef.: ἅμαξα · παρὰ τὸ ἄγω ἄξω ἄξα καὶ ἅμαξα. Or.

432* 23, 14 in sede Philoxeni: ἀμαρύσσειν · τὸ λάμπειν. μαίρω, τὸ λάμπω, ὅθεν μαρμαίρω 〈κατὰ〉 διπλασιασμόν, καὶ παράγωγον μαιρύσσω καὶ δι' εὐφωνίαν ἀποβολῇ τοῦ ι μαρύσσω καὶ πλεονασμῷ τοῦ α ἢ κατ' ἐπίτασιν ἀμαρύσσω. Or.

433 10, 12 (unde Et. Gen. AB s. v. ἀμαυρόν, vide Reitz., Gesch. p. 17, 1 = EM 79, 39; Et. Sym. ap. Reitz., Gesch. p. 271, 24): ἀμαυρός · ... ὁ δὲ Φιλόξενός φησι παρὰ τὸ μαίρω, τὸ λάμπω, ἐξ οὗ καὶ μαρμαίρω, ὁ μέλλων μαρῶ καὶ κατὰ πλεονασμὸν τοῦ υ μαυρῶ, ὡς καίω καύσω καὶ κλαίω κλαύσω, καὶ ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα μαυρός, καὶ μετὰ τοῦ στερητικοῦ α ἀμαυρός, ὁ ἀλαμπής. a.

434* Or. 22, 12 in sede Philoxeni (unde Et. Gud. 111, 21 Stef.): ἀμέγαρτον · ποτὲ μὲν δηλοῖ τὸ εὐτελὲς καὶ μὴ ἄξιον φθόνου, ὡς τὸ „ἀμέγαρτε συβῶτα" (ρ 219). δηλοῖ δὲ καὶ τὸ πολύ, ὡς τὸ „πόνον δ' ἀμέγαρτον ὄφελλεν" (Β 420). ἀλλ' ἐπὶ μὲν τοῦ εὐτελοῦς κατὰ στέρησιν τοῦ α, ἐπὶ δὲ τοῦ πολὺ κατ' ἐπίτασιν. b. Et. Gen. AB s. v. ἀμέγαρτος (vide Reitz., Gesch. p. 22, 18), unde EM 81, 23; Et. Sym. ap. Reitz., Gesch. p. 274, 7: ἀμέγαρτος · ποτὲ μὲν δηλοῖ τὸ εὐτελὲς καὶ μὴ ἄξιον φθόνου, οἷον „ἀμέγαρτε συβῶτα" (ρ 219). δηλοῖ δὲ καὶ τὸ πολύ, ὡς τὸ „πόνον δ' ἀμέγαρτον ὄφελλεν" (Β 420). ἐπὶ μὲν τοῦ εὐτελοῦς κατὰ στέρησιν τοῦ α παρὰ τὸ μεγαίρω, τὸ φθονῶ, μεγαρῶ καὶ μεγαρτὸς καὶ ἀμέγαρτος, ὁ μὴ φθόνου ἄξιος· φθόνος γὰρ τοῖς εὐτελέσιν οὐ προσγίνεται. ἐπὶ δὲ τοῦ πολὺ κατ' ἐπίτασιν τοῦ α, ἵν' ᾖ ἀμέγαρτον τὸ πολλοῦ φθόνου ἄξιον· τὰ γὰρ μεγάλα φθονεῖται, τὰ δ' εὐτελῆ οὔ· „πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει". Σοφοκλῆς Αἴαντι (157). Μεθόδιος. a.

435 Ep. Hom. AO 1, 82, 9 (ex Methodio, vide Reitz., Gesch. p. 27, 21 in test. et p. 198): ἀμολγῷ · ... Φιλόξενος δὲ ἐν ᾗ οὐδεὶς μολίσκει· ἀμολὸς καὶ ἀμολγός. καὶ ἀβρότη γὰρ ἐν ᾗ βροτοὶ οὐ φοιτῶσιν. b. Ep. Hom. AO 1, 201, 5 (s. v. θοῇ, vide Philox. fr. 7): ταύτῃ γὰρ καὶ „νὺξ ἀβρότη" (Ξ 78) εἴρηται κατὰ στέρησιν τοῦ προϊέναι. καὶ τὸ „νυκτὸς ἀμολγῷ" (Λ 173) οὐχ ὡς ἔνιοι κατ' ἐκεῖνο τῆς ὥρας, ᾗ ἀμέλγεται τὰ θρέμματα, ἀλλ' ἀπὸ τοῦ μολῶ ἀμολὸς καὶ ἀμολγός. c. Et. Gen. AB s. v. ἀμολγῷ (ex Orione, vide Reitz., Gesch. p. 28, 1), unde EM 84, 55; Et. Sym. ap. Reitz., Gesch. p. 281: ἀμολγῷ · ... ἢ παρὰ τὸ μολῷ καὶ κατὰ πλεονασμὸν τοῦ γ μολγῷ καὶ μετὰ τοῦ στερητικοῦ α ἀμολγῷ, ἐν ᾗ οὐδεὶς μολίσκει. οὕτως Ὠρίων. d. Apoll. Soph. 28, 23: ἀμολγῷ · ... ἢ ἐν ᾗ τις οὐ μολίσκει, ἵν' ᾖ ἀμολγῷ κατὰ παρένθεσιν τοῦ γ· „ἐν νυκτὸς ἀμολγῷ" (Λ 173), οἷον τὸ μεσονύκτιον. a.

436* Or. 20, 29 in sede Philoxeni: ἄμοτον · παρὰ τὸ μένω μοτὸς ἄμοτος. ἐὰν δὲ σημαίνῃ τὸ ὑπομονητικόν, τὸ α ἐπιτατικόν. b. Et. Gen. AB s. v. ἄμοτον (ex Orione, vide Reitz., Gesch. p. 28, 24), unde EM 85, 1; Et. Sym. cod. V ap. Gaisf. EM 233 B: ἄμοτον · ... παρὰ τὸ μένω γίνεται μοτὸς καὶ ἄμοτος καὶ ἄμοτον, οἷον „ἄμοτον μεμαῶτι μάχεσθαι" (Ν 80). ἀνυπομόνητον, ἵν' ᾖ τὸ α ἐπιτατικόν. a.

437 Athen. 2, 52f: ὅτι περὶ τῆς προφορᾶς τοῦ τόνου τῆς ἀμυγδάλης Πάμφιλος μὲν (fr. 1 Schmidt) ἀξιοῖ ἐπὶ τοῦ καρποῦ βαρύνειν ὁμοίως τῷ ἀμυγδάλῳ· τὸ μέντοι δένδρον θέλει περισπᾶν, ἀμυγδαλῆ καὶ ῥοδῆ. καὶ Ἀρχίλοχος (fr. 25, 2 D. = 30, 2 West) „ῥοδῆς τε καλὸν ἄνθοσ". Ἀρίσταρχος δὲ (cf. Lehrs, Arist. 3 p. 298) καὶ τὸν καρπὸν καὶ τὸ δένδρον ὁμοίως προφέρεται κατ' ὀξεῖαν τάσιν. Φιλόξενος δ' ἀμφότερον περισπᾷ. Εὔπολις (fr. 70 K.) „〈 *** 〉 ἀπολεῖς με, ναὶ μὰ τὴν ἀμυγδαλῆν". Ἀριστοφάνης (fr. 590 K.)· „ἄγε νυν τὰς ἀμυγδαλᾶς λαβὼν τασδὶ κάταξον τῇ κεφαλῇ σαυτοῦ {λίθῳ}". Φρύνιχος (fr. 60 K.)· „ἀμυγδαλῆ τῆς βηχὸς ἀγαθὸν φάρμακον". ἄλλοι δὲ ἀμυγδαλὰς ὡς καλάς. b. Συναγωγὴ τῶν πρὸς διάφορον σημαινόμενον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέξεων cod. Paris. Suppl. gr. 1238 (vide Nickau, Hermes 96, 1968, 378): ἀμυγδαλῆ καὶ ἀμυγδάλη διαφέρει· ἀμυγδαλῆ περισπωμένως τὸ δένδρον, ἀμυγδάλη δὲ παροξυτόνως τὸν καρπόν. οὕτω Πάμφιλος. Φιλόξενος δὲ ἀμφότερα οἴεται περισπᾶν. a.

438 Or. 28, 11 (unde Ep. Hom. AO 1, 46, 17): ἀμύμων · ὁ μὲν Φιλόξενος παρὰ τὸ μύω μύσω μύμων· κατὰ στέρησιν ἀμύμων. ὁ μὴ τεταπεινωμένος μηδὲ ἀνακεκαμυμμένος. b. Et. Gen. AB s. v. ἀμύμων (vide Reitz., Gesch. p. 33, 12), unde EM 87, 29: ἀμύμων · ... παρὰ τὸ μύω, τὸ ὑποκαμμύω, ὁ μέλλων μύσω, ἐξ οὗ ῥηματικὸν ὄνομα μύμων καὶ ἀμύμων, ὁ μὴ κεκαμυμμένος. Et.

439* Gen. AB s. v. Ἀμφιτρύων (vide Reitz., Gesch. p. 37, 22), unde EM 94, 41: Ἀμφιτρύων · ὁ ἥρως. παρὰ τὸ τρύος, ὅ ἐστι πόνος, οἷον καὶ „πολὺ τρύος ἤλασεν ἔξω“ (Call. fr. an. 739 Pf.). Μεθόδιος. Et.

440* Gen. AB s. v. ἀμφουδίς (vide Reitz., Gesch. p. 42, 18), unde EM 93, 17: ἀμφουδίς (ρ 237)· περὶ τὸ ἔδαφος. ἔστι ῥῆμα οὐδίζω, ὁ μέλλων οὐδίσω, ἀποβολῇ οὖν οὐδὶς καὶ ἐν συνθέσει ἀμφουδίς. οὕτως Ὠρίων. EM 461, 36 (s.

441 v. θυσία, fort. e Choer. Orth.): τὰ διὰ τοῦ ια θηλυκὰ μονογενῆ πρὸ μιᾶς ἔχοντα τὸν τόνον ὑπερδισύλλαβα, μὴ ὄντα ἀπὸ τῶν εἰς ευς ἢ ευω ἢ υς, μήτε ἀπὸ τῶν εἰς ος προπερισπωμένων, μήτε σύνθετα ἀφ' ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον, μήτε λεγόμενα εἰς ον οὐδέτερα, μήτε προπαροξύτονα κατὰ κρᾶσιν γινόμενα, μήτε κατὰ διάστασιν εὑρισκόμενα , μήτε Ἀττικὰ ἐκτείνοντα τὸ α καὶ παροξυνόμενα, διὰ τοῦ ι γράφεται· ἀνία, ξενία, πενία, γωνία, ἠρεμία, ὀφθαλμία, αἰθρία, καρδία. πρόσκειται „μονογενῆ“, διὰ τὸ πολυδεύκεια χείρ ... „μὴ κατὰ διάστασιν“, διὰ τὸ ἀνδρεία, τὸ ἐπὶ τῆς ἀρετῆς· τοῦτο δὲ Ἀπολλώνιος (De adv. 136, 8) διὰ τοῦ ι γράφει, ὁ δὲ Ὦρος διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ κατὰ διάστασιν ἀνδρεΐα. οὕτως καὶ ἡ παράδοσις. πρόσκειται „ἐπὶ τῆς ἀρετῆσ“, ἐπειδὴ ἐπὶ γυναικὸς παρὰ Φιλοξένῳ οὐ λέγεται ἀνδρεία γυνή , ἀλλὰ μᾶλλον ἀνδρικὴ γυνή. Ep.

442 Hom. AO 1, 56, 30 (ex Herodiano, ut videtur): ἀνῆκε · „Μοῦς' ἄρ' ἀοιδὸν ἀνῆκεν“ (θ 73). τὸ θέμα ἵημι· ἔστι δὲ καὶ φωνὴ ἀόριστος καὶ παρακειμένη. οὐδέποτε δὲ παρακείμενος ἐνεργητικὸς ἀορίστῳ εἰς α λήγοντι συνέπεσεν, εἰ μὴ οὗτος μόνος· ἧκα γὰρ παρακείμενος καὶ οὐ χρῆν ἡμᾶς λέγειν καὶ ἀόριστος. ἢ ὅτι ὁπόσοι προσθέσει τοῦ μην μέσα ποιοῦσιν, οὗτοι ἀόριστοι πρῶτοί εἰσιν· ἠλειψάμην, ἐτιλάμην. ἐπεὶ οὖν ἐγένετό τι προηκάμην, κατελαβόμεθα ὅτι ἀόριστός ἐστι· ποικίλη γὰρ ἡ φωνή· καὶ γὰρ ἐν πλεονασμῷ τοῦ ε ἕηκε· „Ζεύς με πατὴρ προέηκε“ (Λ 201). καὶ Ἀττικῶς εἷκα καὶ ἕακα καὶ ἕωκα· κατὰ μὲν οὖν Φιλόξενον κατ' ἐκβολὴν τοῦ ι καὶ πρόσοδον τοῦ ω εἷκα ἕωκα· κατὰ δὲ μετροποιΐαν ὡς τὸ „παρῴχηκε“ (Κ 252). Or.

443* 24, 5 in sede Philoxeni (unde Et. Gen. AB s. v. ἀοίδιμος = EM 116, 27): ἀοίδιμος · παρὰ τὴν ἀοιδὴν ἀοίδιμος, ὡς τροφὴ τρόφιμος. Et.

444* Gen. AB s. v. ἀπρίξ (unde EM 132, 52): ἀπρίξ · ... ἔστι πρίζω πρίσω καὶ Δωρικῶς πρίξω καὶ ἐξ αὐτοῦ ἐπίρρημα ἀπρίξ, τουτέστιν ὡς μηδὲ ἀποσχίζεσθαι τοῦ κρατοῦντος τὸ κρατούμενον. Or.

445* 22, 25 in sede Philoxeni: ἀπτήν · πετῶ πετήν, καὶ κατὰ σύνθεσιν ἀπετὴν καὶ συγκοπῇ ἀπτήν. Or.

446 20, 21: ἄρδην · παρὰ τὸ αἴρω ἄρδην, ὡς φύρω φύρδην, μίγω μίγδην. οὕτω Φιλόξενος. Cod.

447 Tischendorfianus Lips. II, fol. 19 v col. II ap. Reitz., M. T. Varro und Joh. Mauropus p. 86 (ex Herodiani Orth.): [ Ἀρκείσιος · διὰ τῆς ει διφθόγγου, ὥς φησιν] ... [ἐτυμολογεῖται γὰρ ἀπὸ] τοῦ ἀρκεῖν καὶ τῆς οὐ[σίας μεταβολῇ τῶν διφθόγγω]ν. Φιλοξένῳ δὲ [μᾶλλον δοκεῖ παρὰ τὸν ἀρ]κέσω μέλλοντα. [εἰ δὲ γράφεται διὰ διφθό]γγου ὁμοίως τῷ Σι[μοείσιος, διέφθαρται ἡ] παράδοσις, διότι [παντελῶς διαφωνεῖ] πρὸς τὴν διφθογ[γίζουσαν γραφὴν ἡ] τῶν δύο ὀνομάτων [ἀνάλογος ἐτυμολογία.] τὸ Σιμοείσιος [γὰρ παράγεται παρὰ τὸν ἴ]σω μέλλοντα, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὤ[φειλεν ἴσις τὸ παράγωγ]ον εἶναι, ὡς ἀπὸ τοῦ [λέξω καὶ πράξω γέγονε] λέξις πρᾶξις, καὶ ἐκ το[ῦ ἴσις τὸ ἴσιος παράγε]ται· ἴσως τοίνυν [ὡσαύτως ἄψις παρ' Ἡσιό]δῳ (Op. 426) „τρισπίθαμο 〈ν〉 [ἄψιν“ παρὰ τὸ ἅψω]. Et.

448 Gen. AB s. v. ἀρτεμής (vide Reitz., Ind. lect. Rostoch. a. 1891/92 p. 17), unde EM 150, 7: ἀρτεμής · „ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα“ (E 515). σημαίνει δὲ τὸν ὑγιῆ. ἔστι δὲ παρὰ τὸ ἀτρεμὴς καὶ καθ' ὑπέρθεσιν ἀρτεμής. οὕτως Φιλόξενος. Or.

449 20, 15 (unde Et. Gen. AB s. v. ἀσκελές = EM 154, 37. 41): ἀσκελές · τὸ σκληρόν. οἷον „ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰέν“ (α 68). παρὰ τὸ σκέλλω, τὸ ξηραίνω, γίνεται ἀσκελές, τὸ ἄγαν σκληρόν· ὅθεν καὶ σκέλος. οὕτω Φιλόξενος. Et.

450 Gen. AB s. v. ἀστεμφής, Et. Gud. 218, 15 Stef.: ἀστεμφὴς καὶ ἀστεμφέως · ἀμετακινήτως, ἰσχυρῶς· Ὅμηρος (δ 419) „ὑμεῖς δ' ἀστεμφέως ἐχέμεν μᾶλλόν τε πιέζειν“. „ἀλλ' ἀστεμφὲς ἔχεσκεν ἀΐδρεϊ φωτὶ ἐοικώς“ (Γ 219). παρὰ τὸ στέμβω, ὃ σημαίνει τὸ κινεῖν συνεχῶς, οὗ μέμνηται Αἰσχύλος (fr. 440 N. 2 = 635 M.). ἀστεμβὴς οὖν ὁ ἀκίνητος, καὶ ἀστεμφής. οὕτως οὖν Φιλόξενος. a.

451 Or. 20, 34: ἀσχαλάαν (B 297)· παρὰ τὸ ἄχω, τὸ λυπῶ, οὗ παθητικὸν τὸ ἄχομαι· „νῦν δ' ἄχομαι κακότητι“ (θ 182). παράγωγον ἀχάλλω καὶ πλεονασμῷ τοῦ ς ἀσχάλλω. οὕτω Φιλόξενος. b. Et. Gen. AB s. v. ἀσχάλλων (unde EM 161, 26): ἀσχάλλων · ... παρὰ τὸ ἄχω, ἀφ' οὗ ἄχομαι, οἷον „νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων“ (ς 256), γίνεται ἀχάλλω, ὥσπερ ἄγω ἀγάλλω, εἴδω εἰδάλλω καὶ ἰνδάλλω. ἄχω ἀχάλλω καὶ πλεονασμῷ τοῦ ς ἀσχάλλω. ἐκ δὲ τοῦ ἀσχάλλω γίνεται περισπώμενον ῥῆμα ἀσχαλῶ, τὸ τρίτον πρόσωπον ἀσχαλᾷ καὶ πλεονασμῷ τοῦ α ἀσχαλάᾳ, ὡς παρ' Ὁμήρῳ (B 292)· „καὶ γάρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο ἀσχαλάᾳ“. Et.

452 Gen. AB s. v. ἄτη (unde EM 163, 41): ἄτη · ... ἢ παρὰ τὸ ἄω, ὃ δηλοῖ τὸ βλάπτω, οἷον „ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος“ (λ 61), ὁ μέλλων ἄσω καὶ ἐξ αὐτοῦ ἄση, ἡ βλάπτουσα τὴν ψυχήν· τροπῇ τοῦ ς εἰς τ ἄτη. οὕτως Φιλόξενος. Phryn.

453* Praep. Soph. 17, 15 de B.: ἄτριψ · ὁ οὐκ ἐντριβής τινι πράγματι. καὶ ἔστι παρὰ τὸν τρίψω μέλλοντα, ὡς ἁρπάξω ἅρπαξ, κλέψω κλὲψ καὶ βοῦκλεψ, καὶ τέξω τὲξ καὶ ἐπίτεξ. οὕτως οὖν καὶ τρὶψ καὶ ἄτριψ καὶ πορνότριψ. λέγεται δὲ καὶ ἀτρίβων. Or.

454* 20, 25 in sede Philoxeni: αὐλή · ἄω, τὸ πνέω, οὗ ὁ μέλλων ἄσω, ὡς ἀπὸ βαρυτόνου· πλεονασμῷ τοῦ υ αὔσω, ὄνομα ῥηματικὸν αὐλή. a.

455* Or. 20, 31 in sede Philoxeni (unde Et. Gud. 249, 13 Stef.): ἀχανές · παρὰ τὸ χαίνω κατ' ἐπίτασιν τοῦ α, τὸ λίαν χαῖνον. δηλοῖ δὲ καὶ στέρησιν τοῦ χαίνειν, οἷον ἐνεὸν εἶναι καὶ μὴ διᾶραι τὸ στόμα δύνασθαι. b. Et. Gen. AB s. v. ἀχανές (unde EM 180, 16): ἀχανές · οἷον ἀχανὲς πέλαγος. παρὰ τὸ χαίνω χανῶ χανές, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀχανές, τὸ λίαν κεχηνός. δηλοῖ δὲ καὶ ἐνεὸν εἶναι καὶ μὴ χαίνειν κατὰ στέρησιν. Or.

456* 24, 7 in sede Philoxeni: ἄχραντος · ὡς παρὰ τὸ χραίνω χραντὸς καὶ ἄχραντος καὶ παρὰ τὸ φαίνω φαντὸς καὶ ἄφαντος. a.

457* Or. 37, 4 in sede Philoxeni (unde Et. Gen. AB s. v. βάβαξ = EM 183, 49): βάβαξ · ὁ λάλος. Ἀρχίλοχος (fr. 32 D. = 297 West) „κατ' οἶκον ἐστρωφᾶτο δυσμενὴς βάβαξ“. ἐκ τοῦ βάζω βάξω βὰξ ὄνομα καὶ κατ' ἀναδιπλασιασμὸν βάβαξ. b. Et. Gud. 256, 23 Stef.: βάβαξ· ὁ λάλος ... βέλτιον δὲ οὕτως· ἔστι ῥῆμα φῶ, τοῦτο γίνεται βῶ, ὡς τὸ κῦφος κύβος, παράγωγον βάζω βάξω, ἀφαιρέσει τοῦ ω βάξ, ὡς ἄλκω ἄλξω ἄλξ, καὶ ἐν διπλασιασμῷ βάβαξ. πολλὰ δὲ παρὰ τοὺς μέλλοντας ἐκπίπτει ὀνόματα· ἑλίξω ἕλιξ, δώσω δώς, θήσω θής. Et.

458*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Gen. AB s. v. βάλλω (unde EM 186, 55): βάλλω · παρὰ τὸ βῶ, τὸ βαίνω, γίνεται βάλλω, ὡς ἀπὸ τοῦ θῶ θάλλω καὶ ἰῶ ἰάλλω· οἱ γὰρ βάλλοντες διαβαίνουσιν. Ep.

459 Hom. AO 1, 101, 27: γνώτην (φ 36)· ῥήματος δεύτερος ἀόριστος. τὸ θέμα ἄδηλον· οὐ γὰρ εὑρέθη ἐπὶ τρίτης συζυγίας, εἰ μὴ τὸ δίδωμι· τὰ δ' ἄλλα καθ' ὑπόστασιν λαμβάνομεν. ἅλωμι, βίωμι, τίτρωμί τε καὶ γίγνωμι, ὡς ἀπὸ τοῦ γνῶ γνῶμι γίγνωμι, ὡς τίτρωμι καὶ τίτρημι· καὶ γὰρ καὶ πρώτης καὶ τρίτης λέγεται. οὕτω Φιλόξενος καὶ Τρύφων (fr. 81 Velsen). a.

460* Or. 43, 4 in sede Philoxeni (unde Antistoech. codd. Monac. gr. 310 fol. 49 r , Crypt. Za III fol. 22 v ): γραῦς · ῥεύσω ἐστὶ μέλλων ἀπὸ τοῦ ῥέω, 〈ἀποβολῇ τοῦ ω ῥεῦσ〉 καὶ πλεονασμῷ τοῦ γ γρεῦς καὶ γραῦς, τὸ διερρυηκὸς γύναιον, τροπῇ τοῦ ε εἰς α. b. Or. 613, 29 Werf. (codd. HI): γραῦς · παρὰ τὸ ῥέω ῥεύσω ῥεῦς, καὶ τροπῇ τοῦ ε εἰς α ῥαῦς καὶ προσθήκῃ τοῦ γ γραῦς. Et.

461* Gen. B s. v. δαιδάλλω (deest A), unde EM 251, 7: δαιδάλλω · τὸ ποικίλλω. παρὰ τὸ δαίω παράγωγον δαιάλλω, ὡς ἴω ἰάλλω, ἄγω ἀγάλλω, καὶ πλεονασμῷ τοῦ δ δαιδάλλω. Or.

462* 48, 6 in sede Philoxeni: δᾷς· ἡ λαμπάς. παρὰ τὸ δαίω, ὁ μέλλων δαίσω, ἀποβολῇ τοῦ ω δαὶς 〈καὶ δᾷς κατὰ συναίρεσιν〉 . οὕτω καὶ δορκάς· ἀπὸ τοῦ δέρκω δορκάς, λάμπω λαμπάς, νείφω νιφάς. Or.

463* 48, 18 in sede Philoxeni (unde Et. Gud. 340, 12 Stef.): δεῖν · συναλιφῇ τοῦ δέον δεῖν, ὡς πλέον πλεῖν. a.

464* Or. 50, 5: δέος · παρὰ τὸ δείω δέος, 〈ὡσ〉 νείφω νέφος· λέγεται γὰρ καὶ δείδω δίω· ἔνθα δεύτερος ἀόριστος „περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν“ (Ι 433). b. Et. Gen. AB s. v. δέος (unde EM 256, 43; Et. Gud. 346, 21 Stef.): δέος · παρὰ τὸ δείω, τὸ φοβοῦμαι, γίνεται δέος, ὡς νείφω νέφος. Et.

465* Gen. AB s. v. δέρκω (unde EM 256, 51; cf. Et. Sym. cod. V ap. Gaisf. EM 740 C mutato ordine): δέρκω · τὸ ὁρῶ. παρὰ τὸ δρῶ, τὸ πράττω, δρέκω καὶ καθ' ὑπέρθεσιν δέρκω. Or.

466* 48, 15 in sede Philoxeni: δήνεα · παρὰ τὸ δαίω, τὸ μανθάνω, ὁ μέλλων δαίσω καὶ δαίμων, ὁ πάντα εἰδώς, ὅπερ ἀποβολῇ τοῦ δ παρ' Ὁμήρῳ (Ε 49) „αἵμονα θήρησ“. δαίω οὖν καὶ δαίνεα καὶ δήνεα. a.

467* Or. 48, 21: δοῖδυξ · ὁ καὶ ἀλετρίβανος. ῥῆμά ἐστι δαδύσσω· δαίω γὰρ τὸ μερίζω καὶ κόπτω, ὅθεν καὶ δαιτρὸς ὁ μάγειρος· οὗ ὁ μέλλων δαδύξω καὶ ῥηματικὸν ὄνομα κατὰ ἀποβολὴν τοῦ ω δάδυξ, τροπῇ τοῦ α εἰς ο δόδυξ καὶ δι' εὐφωνίαν προσῆλθε τὸ ι δοῖδυξ· ὁ ταρακτικὸς ὤν. b. Et. Gen. AB s. v. δοῖδυξ (unde EM 289, 7): δοῖδυξ · ὁ καλούμενος ἁλοτρίβανος. Ἀριστοφάνης (Pax 288)· „ἐγὼ δὲ δοίδυκ' εἰσιὼν ποιήσομαι“. εἴρηται παρὰ τὸ δαδύσσω, ὃ σημαίνει τὸ ταράσσω. Σώφρων ἐν Μίμοις (fr. 117 Kaibel)· „ἐν ὅσσῳ δέει δαδύσσεσθε“, ἀντὶ τοῦ ταράσσεσθε. ὁ μέλλων δαδύξω, ἀποβολῇ τοῦ ω δάδυξ καὶ τροπῇ τοῦ α εἰς ο καὶ πλεονασμῷ τοῦ ι δοῖδυξ. Or.

468* 50, 2: δόξα · ῥῆμά ἐστι περισπώμενον καὶ βαρύτονον δοκῶ καὶ δόκω· ἔνθεν ἐκ τοῦ δόκω βαρυτόνου ὁ μέλλων δόξω, ῥηματικὸν 〈ὄνομα〉 δόξα, ὡς ἄγω ἄξω ἄξα καὶ ἄμαξα. Et.

469* Gen. AB s. v. δορκάς (ex Orione), unde Et. Sym. cod. V ap. Gaisf. EM 815 B: δορκάς · ὡς παρὰ τὸ λάμπω γίνεται λαμπὰς καὶ 〈παρὰ τὸ〉 νείφω νιφάς, οὕτως καὶ παρὰ τὸ δέρκω δερκὰς καὶ δορκάς· εὔοπτον γὰρ τὸ ζῷον καὶ ὀξυδερκές. Et.

470* Gen. AB s. v. δόρξ (fort. ex Orione), unde EM 284, 9: δόρξ · ... παρὰ τὸ δέρκω δέρξω δὲρξ καὶ δόρξ, ὡς σήπω σήψω σήψ, ἕψω ἓψ καὶ ὄψ· ἔνθεν ὀπός, οἷον „οὐδέ πω Ἀτρεΐδεω ὀπὸς ἔκλυον αὐδήσαντοσ“ (Π 76)· ὀξυδερκὲς γὰρ τὸ ζῷον καὶ εὐόμματον. Et.

471* Gen. AB s. v. δράκων (unde EM 286, 7): δράκων · τὸ ζῷον. παρὰ τὸ δέρκω καὶ ἔδρακον καὶ „οὐδ' ἂν νῶϊ διαδράκοι ἠέλιοσ“ (Ξ 344)· ὀξυδερκὲς γὰρ τὸ ζῷον. Or.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

472* 48, 12 in sede Philoxeni (unde Et. Gud. 383, 19 Stef.): δύσκολος · οἱονεὶ δύσκολλός τις ὤν, ὁ δυσχερῶς τινι κολλώμενος καὶ συναπτόμενος, ὥσπερ ἐκ τοῦ ἐναντίου κόλαξ, κόλλαξ τις ὤν, ὁ συνάπτεσθαι σπουδάζων καὶ κολλᾶσθαι. Et.

473 Gen. A II B s. v. δῶμα (unde Et. Sym. cod. V ap. Gaisf. EM 840 C): δῶμα · ... τὰ εἰς ω λήγοντα ῥήματα βαρύτονα πολλάκις μεταβάλλουσι τὸ παρατέλευτον ε εἰς ω· δέμω δωμῶ, νέμω νωμῶ· ἐκ δὲ τοῦ δωμῶ δωμήσω γίνεται δώμημα καὶ κατὰ συγκοπὴν δῶμα. οὕτως Φιλόξενος. Or.

474 48, 4: δὼς ἀγαθή (Hes. Op. 356)· ἀπὸ τοῦ δώσω μέλλοντος ἀποβολῇ τοῦ ω δώς. οὕτω Φιλόξενος. a.

475 Et. Gen. AB s. v. πρώειρα (de cod. B vide Miller, Mélang. p. 256): τὸ δὲ Ἶρα, ἡνίκα μὲν ἐπὶ τῆς πόλεως, ἔστι γὰρ πόλις οὕτω λεγομένη, διὰ τοῦ ι γράφεται. τὸ δὲ ἐπὶ τῆς ἐκκλησίας διφορεῖται. εἰ μὲν ἀπὸ τοῦ ἱερόν, διὰ τοῦ ι, τοῦ ι καὶ ε εἰς τὸ ι κεκραμένων, ὡς πόλιες πόλις, ὄφιες ὄφις, ἱέραξ ἵραξ. εἰ δὲ ἀπὸ τοῦ εἴρω, διὰ τῆς ει διφθόγγου, ὡς καὶ ὁ Φιλόξενος λέγει. b. Or. 59, 1 (unde Et. Gud. 425, 6 Stef.): εἴρα · ἡ ἐκκλησία. ἀπὸ τοῦ εἴρω, τὸ λέγω. Or.

476* 61, 27 (unde Et. Gud. 427, 11 Stef.): εἰρήνη · παρὰ τὸ εἴρειν καὶ λέγειν ἐν αὐτῇ ἐξεῖναι, εἴπερ Ἄρης, ὁ πόλεμος, κατὰ στέρησιν τῆς ῥήσεως λέγεται. Or.

477* 63, 11 in sede Philoxeni (unde Et. Gud. 428, 20 Stef.): εἱρκτή · ἐκ τοῦ εἵργω, τὸ κωλύω, ὁ μέλλων εἵρξω καὶ εἱρκτή. a.

478* Or. 63, 8 in sede Philoxeni: ἐκάπυσσεν (Χ 467)· κάπω ἐστὶ ῥῆμα τὸ δηλοῦν τὸ πνέω, τούτου παράγωγον καπύω καὶ ἕτερον καπύσσω, ὡς ἀφύω ἀφύσσω. b. Et. Gen. A I B s. v. ἐκάπυσεν (de cod. B vide Miller, Mélang. p. 104): ἐκάπυσ〈σ〉εν · ... ἀπὸ τοῦ κάπω, τὸ πνέω, ἀφ’ οὗ καπύω καπύσ〈σ〉ω, ὡς ἀφύω ἀφύσ〈σ〉ω· „οἶνον δὲ φθινύθουσιν ἐξαφύοντεσ“ (ξ 95). Et.

479* Gen. B s. v. ἐνιαυθμός (unde EM 342, 35): ἐνιαυθμός · παρὰ τὸ ἐνιαύω, τὸ ἐνδιατρίβω, ἐνιαυσμὸς καὶ ἐνιαυθμός· „ἐνιαυθμοὶ δ’ αὔλια καὶ βοτάναι“. Καλλίμαχος (fr. 27, 2 Pf.). a.

480 Ep. Hom. AO 1, 130, 22 (unde Et. Gud. 476, 2 Stef. = EM 342, 33): ἐνιαυτός · ... οἱ δὲ παρὰ τὸ ἰαύω, τὸ ἐνδιατρίβω, ὡς λέγει Φιλόξενος, καὶ ἐν συνθέσει ἐνιαύω, καὶ ἐξ αὐτοῦ ἐνιαυτός· ὁ ἐνδιάτριπτος χρόνος. καὶ Ὅμηρος (ι 187) „ἔνθα Κύκλωψ ἐνίαυε πελώριοσ“. b. Et. Gen. B s. v. ἐνιαυτός (veriloquium Philoxeni om. A), unde Et. Sym. cod. V ap. Gaisf. EM 981 C: ἐνιαυτός · ... ἢ παρὰ τὸ ἰαύω, τὸ διατρίβω· „πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον“ (Ι 325), ἐνιαύω καὶ ὄνομα ῥηματικὸν ἐνιαυτός, ὁ ἐνδιάτριπτος χρόνος. a.

481 Schol. Hom. ex codd. Paris. gr. 2556 et 2766 ad Β 219 ap. Cramer, ad 3, 152, 1. 279, 17 (de his codd. vide Erbse, Beiträge p. 186. 193), Et. Sym. cod. V ap. Gaisf. EM 1015 D: ἐπενήνοθε · ... ἢ κατὰ Φιλόξενον ἐκ τοῦ ὄθω τοῦ σημαίνοντος τὸ κινῶ, μετὰ τῆς ἐν ἐνόθω, ἐνόσω ὁ μέλλων· ὅθεν Ἐνοσίχθων καὶ ἐνοσίφυλλος. ἤνοκα καὶ ἤνοθα ὁ μέσος, καὶ διπλασιασμῷ Ἀττικῷ ἐνήνοθα. b. Ep. Hom. AO 1, 135, 18 (unde Et. Gud. 498, 11 Stef. = EM 354, 49): ἐπενήνοθεν · ... ἔστι δὲ καὶ ἄλλως· ἔστιν ὄθω, τὸ κινῶ, ὁ μέλλων ὄσω, ὁ παρακείμενος ὦκα ὁ μέσος ὦθα καὶ μετὰ τῆς ἐν προθέσεως ἐνόθω ἐνόσω, ὁ παρακείμενος ἐνήνοκα, ἐνήνοθα ὁ μέσος καὶ τὸ τρίτον ἐνήνοθεν. a.

482* Or. 59, 32 in sede Philoxeni (unde Et. Gen. B s. v. ἐπιτάξ, gl. om. A = EM 365, 25): ἐπιτάξ · παρὰ Καλλιμάχῳ τὸ ἐπίρρημα (fr. 178, 9 Pf.). παρὰ τὸν ἐπιτάξω μέλλοντα ἀποβολῇ τοῦ ω ἐπιτάξ, ὡς παρὰ τὸν μίξω μὶξ καὶ ἐπιμίξ. b. Hellad. Chrest. ap. Phot. Bibl. 532 a 36: ὅτι τὸ ἐπιτὰξ παρὰ Καλλιμάχῳ (fr. 178, 9 Pf.) καὶ Ἀράτῳ (Ph. 380) κείμενον ἀπὸ τοῦ ὁριστικοῦ μέλλοντος γέγονε κατὰ ἀποβολὴν τῆς ἐπὶ τέλει μακρᾶς συλλαβῆς· ὥσπερ καὶ τὸ χωρὶς τοῦ χωρίσω καὶ τὸ πέλας τοῦ πελάσω καὶ τὸ μὶξ ἀπὸ τοῦ μίξω, ὅθεν τὸ „ἐπιμὶξ“ παρ’ Ὁμήρῳ (Λ 525) καὶ τὸ δὰξ ἀπὸ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δάξω· καὶ γὰρ οἱ Ἴωνες ἀπὸ τοῦ δάκνω τὸ δάξω ἐκφέρουσιν· ἐκ δὲ τοῦ δὰξ τὸ ὀδάξ. καὶ ἀπὸ τοῦ πτύξω δὲ πτὺξ καὶ ἀποβολῇ τοῦ τ πύξ. οὕτως οὖν καὶ ἀπὸ τοῦ οὐδίσω οὐδὶς καὶ ἀμφουδίς. ἀμύξω „ἀμὺξ“ παρὰ Νικάνδρῳ (Th. 131) καὶ πλήξω πλὴξ καὶ ἀμφιπλὴξ καὶ ἀγκάσω ἀγκὰς καὶ τύψω τὺψ καὶ προτύψ. ὡσαύτως καὶ ὀκλάσω ὀκλὰς καὶ ὀκλάξ, πρίσω πρὶς πρὶξ καὶ ἀπρίξ· οὕτως οὖν καὶ ἐκ τοῦ ἐπιτάξω ἐπιτάξ, ὃ κατ’ ἐπίταγμα καὶ κέλευσιν πράττεται. Or.

483* 60, 17 in sede Philoxeni: ἔπος · παρὰ τὸ ἔπω, οὗ σύνθετον ἐνέπω. ἔπω δὲ ἔπος, ὡς τεύχω τεῦχος. a.

484* Or. 62, 12 in sede Philoxeni (unde Et. Gen. *A I A II B s. v. ἔρεβος = EM 370, 26): Ἔρεβος· παρὰ τὸ ἐρέφω τροπῇ τοῦ φ εἰς β· τὸ κατεστεγασμένον ὑπὸ τῆς γῆς. b. Et. Gud. 518, 2 Stef.: Ἔρεβος · ... ἢ παρὰ τὸ ἐρέφω, τὸ στεγάζω, ἔρεφος καὶ Ἔρεβος, τὸ ὑπὸ τῆς γῆς ἐστεγασμένον, καθὼς καὶ τῷ ποιητῇ (Ar. Av. 693) δοκεῖ· ἐν ἀρχῇ ἦν Ἔρεβος καὶ Χάος. Et.

485 Gen. B s. v. ἐρειθεύω (ex Orione, om. A), unde EM 370, 37: ἐρειθεύω · παρὰ τὸ ἐρέθω· „μή μ’ ἔρεθε σχετλίη“ (Γ 414), ἐξ οὗ καὶ τὸ ἐρεθίζω. ἐρεθεύω καὶ πλεονασμῷ τοῦ ι ἐρειθεύω. οὕτως Φιλόξενος καὶ Ἡρωδιανός (2, 415, 1 L., vide Addenda p. 1256). a.

486 Et. Gen. A I B s. v. ἐρείπω (ex Choer. Orth.), unde EM 372, 28: ἐρείπω καὶ ἐρείπια · ... ὁ δὲ Φιλόξενος λέγει, ὅτι διὰ τῆς ει διφθόγγου γράφεται τῆς παραδόσεως οὕτως ἐχούσης· ἀπὸ γὰρ τοῦ ἔρα τοῦ σημαίνοντος τὴν γῆν γέγονεν ἐρέπτω καὶ πλεονασμῷ τοῦ ι καὶ ἀποβολῇ τοῦ τ ἐρείπω. σημαίνει δὲ καὶ ἐνέργειαν καὶ πάθος· σημαίνει γὰρ καὶ τὸ καταβάλλω καὶ τὸ πίπτω. b. Et. Gud. 525, 16 Stef.: ἐρίπω · ... ὁ δὲ Φιλόξενος λέγει, ὥς φησιν ὁ τεχνικός (Hrd. 1, 364, 30. 2, 415, 5 L.) ὅτι ἐρίπω 〈διὰ τοῦ〉 ι ὤφειλεν, ὡς καὶ ὁ Δίδυμός φησιν (p. 338 Schmidt). εἰπὼν δὲ „ὤφειλεν“ ἐδήλωσεν οὐ διὰ τοῦ ι γράφεσθαι, ἀλλὰ διὰ τῆς ει. ἔστι δὲ 〈παρὰ τὸ ἔρα τὸ σημαῖνον τὴν γῆν ἐράπτω〉 καὶ ἐρέπτω καὶ πλεονασμῷ τοῦ ι ἐρείπτω καὶ κατὰ ἀποβολὴν τοῦ τ ἐρείπω. ἰστέον δὲ ὅτι τὸ ἐρείπω καὶ ἐνεργητικὸν σημαίνει καὶ παθητικόν. a.

487* Or. 59, 11 in sede Philoxeni: ἐρέτης · ἐλῶ ἐλέσσω παράγωγον, καὶ τροπῇ τοῦ λ εἰς ρ ἐρέσσω καὶ ἐρέτης. b. Et. Gen. A II B s. v. ἐρέσσειν (unde EM 370, 54): ἐρέσσειν· ... παρὰ τὸ ἐλῶ, τὸ ἐλαύνω, γέγονε ἐλέσσω καὶ τροπῇ τοῦ λ εἰς ρ ἐρέσσω, ὅθεν καὶ ἐρέτης. Or.

488 59, 13 (unde Et. Gen. A II B s. v. ἐρωτῶ = EM 380, 2; Et. Gud. 535, 6 Stef.): ἐρωτῶ · παρὰ τὴν ἔρωτος γενικὴν γέγονε ἐρωτῶ· ἐπειδὴ οἱ ἐρωτῶντες ὃ εὔχονται μαθεῖν τοῖς ἐρῶσιν ἐοίκασιν. οὕτω Φιλόξενος. a.

489* Or. 60, 21 in sede Philoxeni: ἐσθής · παρὰ τὸν ἕσω μέλλοντα 〈 *** 〉 ἀμφιέσω, ὄνομα ῥηματικὸν 〈ἑστόσ〉, παρώνυμον ἑστής, καὶ μεταθέσει τοῦ τ εἰς θ ἐσθής, ὡς παρὰ τὸ ἀργὸς ἀργής· „ἀργῆτι κεραυνῷ“ (ε 128). b. Et. Gen. B s. v. ἐσθής (om. A), unde EM 382, 48: ἐσθής · ... ὡς παρὰ τὸ ἀργὸς ἀργής, ἀφ’ οὗ τὸ „ἀργῆτα κεραυνόν“ (Θ 133), καὶ γυμνὸς γυμνὴς καὶ ποτὸς ποτής· „ἐδητύος ἠδὲ ποτῆτοσ“ (Λ 780), οὕτως καὶ παρὰ τὸ ἑστὸς ἑστὴς καὶ ἐσθής. a.

490* Or. 59, 29 in sede Philoxeni (unde Et. Gud. 546, 22 Stef.): ἐτεόν · τὸ ἀληθές. ἀπὸ τοῦ εἰμί, ὁ μέλλων ἔσω καὶ ἔσομαι· καὶ ὡς θήσω θετός, οὕτως ἔσω ἐτὸς καὶ πλεονασμῷ τοῦ ε ἐτεός· τὸ γὰρ ἀληθὲς ὑπάρχον ἐστὶ καὶ πεπηγός. b. Et. Gen. A I A II B s. v. ἐτεὸς καὶ ἐτός (unde Et. Sym. cod. V ap. Gaisf. EM 1107 E): ἐτεὸς καὶ ἐτός · ὁ ἀληθής. ἐκ τοῦ εἰμὶ ἔσω ἐτός, ὁ ὑπάρχων, ὡς θήσω θετὸς καὶ δώσω δοτός· τὸ γὰρ ὑπάρχον ἀληθὲς καὶ ὄν ἐστι. καὶ ἀπὸ τοῦ ἐτὸς ἐτεός, ὡς δοτὸς δοτέος καὶ θετὸς θετέος. a.

491 Et. Gen. A II B s. v. ἐτώσιον (unde EM 387, 39; Et. Sym. cod. V ap. Gaisf. EM 1111 E): ἐτώσιον · ... ὁ δὲ Φιλόξενος καὶ Τρύφων (fr. 129 Velsen) φασίν, ὅτι ὥσπερ παρὰ τὸ πλησίον τὸ σημαῖνον τὸ ἐγγὺς γίνεται κατὰ ἀντίφρασιν τὸ πλήν ἐπίρρημα τὸ σημαῖνον τὸ χωρίς, οἷον πλὴν Ἀπολλωνίου, πλὴν Διδύμου, οὕτως καὶ ἐκ τοῦ ἐτὸς ὀνόματος, ὃ σημαίνει τὸν ἀληθῆ, γέγονε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐτώσιον κατὰ ἀντίφρασιν· σημαίνει δὲ τὸ μάταιον. b. Et. Gud. 550, 24 Stef.: ἐτώσιος · ... ὁ δὲ Φιλόξενος καὶ Τρύφων (fr. 129 Velsen) φασίν· ἐτός, ὁ ἀληθής, ὅθεν ἐτεὸς 〈καὶ〉 ἐτώσιος κατὰ ἀντίφρασιν, ὁ μάταιος, ὥσπερ τὸ πλησίον, τὸ ἐγγύς, κατὰ ἀντίφρασιν γίνεται πλήν, τὸ χωριστικὸν ἐπίρρημα, οἷον πλὴν Ἀπολλωνίου, πλὴν Διδύμου, ἀντὶ τοῦ χωρίς. a.

492* Or. 62, 3 in sede Philoxeni: εὐμαρής · παρὰ τὸ μαίρω, τὸ λάμπω, ὅθεν τὸ μαρμαίρω κατ' ἀναδιπλασιασμόν. μαίρω μαρὴς καὶ εὐμαρής, ὁ ἐμφανὴς καὶ δῆλος καὶ εὔληπτος καὶ μὴ ὑπὸ σκότει κείμενος. b. Et. Gen. A II B s. v. εὐμαρής (unde EM 393, 10): εὐμαρής · ... ὁ εὔληπτος καὶ δῆλος. παρὰ τὸ μαίρω, τὸ λάμπω, ἐξ οὗ τὸ μαρμαίρω καὶ μάρμαρον. γίνεται μαρὴς καὶ εὐμαρής, ὁ μὴ ὑπὸ σκότει κείμενος. Or.

493* 60, 13 in sede Philoxeni (unde Et. Gen. A I B s. v. εὐρρεῖος = EM 396, 5): ἐϋρρεῖος (Z 508)· καλῶς ῥέοντος. παρὰ τὸ ῥέω γέγονε ῥεεὺς καὶ εὐρρεεὺς εὐρρεέος· καὶ κράσει τῶν δύο εε εἰς τὴν ει δίφθογγον ἐϋρρεῖος. δύναται καὶ παρὰ τὸν ῥεύσω μέλλοντα ῥεὺς ἀποβολῇ τοῦ ω ἐρρεύς. Or.

494* 60, 11 in sede Philoxeni (unde Et. Gen. A II B s. v. ἐΰς = EM 398, 3): ἐΰς · παρὰ τὸ ἔω, τὸ ὑπάρχω· ὡς παρὰ τὸ ἥδω ἡδὺς καὶ βρίθω βριθύς, οὕτως καὶ παρὰ τὸ ἔω ἐΰς· τὸ γὰρ ἀγαθὸν βέβαιον καὶ ἑδραῖον ὑπάρχει. a.

495* Or. 60, 19 in sede Philoxeni: εὐτράπελος · παρὰ τὸ τρέπω ῥῆμα, οὗ β' ἀόριστος ἔτραπον, ὄνομα τράπελος, σύνθετον εὐτράπελος. b. Et. Gen. A II B s. v. εὐτράπελος (unde EM 399, 24): εὐτράπελος · ... ὥσπερ γὰρ παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ, γίνεται εἴκελος, οὕτως καὶ ἀπὸ τοῦ τρέπω ἔτραπον τράπελος καὶ εὐτράπελος. a.

496 Schol. Apoll. Rh. 3, 118: ἑψιόωντο · ἀντὶ τοῦ ἔπαιζον. Φιλόξενος δὲ ἀντὶ τοῦ ὡμίλουν, παρὰ τὸ ἔπος. b. ibid. 1, 459a: ἑψιόωνται · παρὰ τὴν ἑψίαν, ἥ ἐστι διὰ λόγων παιδιά, οἷον ἐπεσία τις οὖσα, παρὰ τὸ ἔπος. διὸ καὶ ψιλοῦται. a.

497 Et. Gen. A I A II B s. v. ἕωλος (unde EM 352, 18): ἕωλος καὶ ἕωλον ὄψον · ὁ χθεσινὸς καὶ τὸ χθεσινόν ... Φιλόξενος δὲ λέγει, ὅτι γίνονται ἀπὸ τῶν εἰς ω ῥημάτων ὀνόματα εἰς λος, οἷον φείδω φειδωλός, αἰτῶ Αἰτωλός, ἁμαρτῶ ἁμαρτωλός. οὕτως καὶ παρὰ τὸ ἕω, ὃ σημαίνει τὸ κορεσθῆναι, γίνεται ἕωλος· ὅταν γὰρ κορεσθῶμέν τινος, εἰώθαμεν τὰ λοιπὰ εἰς τὴν ἑξῆς φυλάττοντες ἕωλα προσαγορεύειν. b. Or. 59, 2 in sede Philoxeni: ἕωλον {τὸ} ὄψον · παρὰ τὸ ἕω τὸ δηλοῦν τὸ κορέσω· „ἐπεί χ' ἑῶμεν πολέμοιο“ (T 402)· ὅταν γὰρ διακορεῖς γενώμεθα, εἰς ἐπιοῦσαν τὰ μέρη λιπόντες λέγομεν ἕωλα. Or.

498* 68, 3 (unde Et. Gen. AB s. v. ζεύγλη = EM 409, 56): ζεύγλη · παρὰ τὸ ζεύγω ζεύξω ζεύγλη, ὡς ἀΐσσω ἀΐξω αἴγλη μετὰ συναιρέσεως. a.

499* Or. 70, 1 in sede Philoxeni: ἠλασκάζω · ἀλῶ καὶ τὸ παθητικὸν ἀλῶμαι, 〈ἐξ οὗ〉 ἀλάσκω γίνεται παράγωγον, ὡς τὸ βῶ βάσκω. καὶ ἕτερον γίνεται παράγωγον ἀπὸ τοῦ ἀλάσκω ἀλασκάζω, ὡς ἀκούω ἀκουάζω, ῥίπτω ῥιπτάζω. τὸ δὲ ἀλασκάζω Ἰωνικῇ τροπῇ τοῦ α εἰς η ἠλασκάζω. b. Et. Gen. AB s. v. ἠλασκάζω καὶ ἠλάσκω (unde Et. Sym. cod. V ap. Gaisf. EM 1212 G): ἠλασκάζω καὶ ἠλάσκω · ... ἔστιν ἀλῶ, ὃ σημαίνει τὸ πλανῶ· ἐκ τούτου γίνεται ἀλάσκω, ὡς γηρῶ γηράσκω, καὶ ἠλάσκω κατὰ τροπήν, ὡς ἀλέκτωρ ἠλέκτωρ, ἀπεδανὸς ἠπεδανός. ἐκ δὲ τοῦ ἠλάσκω ἠλασκάζω, ὡς ῥίπτω ῥιπτάζω. a.

500* Or. 69, 25 in sede Philoxeni: ἠλάσκουσαι (N 104)· παρὰ τὸ ἀλῶ ἀλῶμαι, ἀλάσκω γίνεται παράγωγον, ὡς φῶ φάσκω· οἷον περὶ τὸν αὐτὸν τόπον ἀναστρέφομαι καὶ πλανῶμαι. b. Et. Gen. AB s. v. ἠλάσκουσαι · „αὔτως ἠλάσκουσαι“ (N 104). παρὰ τὸ ἀλῶ ἀλάσκω καὶ ἠλάσκουσαι. Et.

501*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Gen. AB s. v. θρίξ (unde EM 456, 12): θρίξ · ἀπὸ τοῦ θερίζω θερίξω Δωρικῶς· κατὰ ἀποβολὴν τοῦ ω καὶ συγκοπῇ θρίξ. Or.

502* 77, 20 in sede Philoxeni (unde Et. Gen. AB s. v. ἰάλλω = EM 463, 11; Et. Sym. cod. V ap. Gaisf. EM 1323 D): ἰάλλω · παρὰ τὸ ἰῶ παράγωγον ἰάλλω, οἷον ἰέναι ποιῶ. Et.

503* Gen. AB s. v. ἰνδάλλω (unde EM 471, 33): ἰνδάλλω · ὥσπερ παρὰ τὸ ἄγω γίνεται ἀγάλλω, ἰῶ, τὸ πέμπω, ἰάλλω, οὕτως παρὰ τὸ εἴδω, τὸ ὁμοιῶ, γίνεται ἰδάλλω καὶ πλεονασμῷ τοῦ ν ἰνδάλλω, ἐξ οὗ καὶ ἴνδαλμα. a.

504* Or. 77, 16 in sede Philoxeni: ἰξός · ἵκω ἵξω ἵξομαι ἰξός· ὁ φθάνων μέχρις ὧν 〈ἂν〉 φθάνωσι τόπων τὰ πτηνά, ἀντὶ τοῦ ἔνθα ἱκνοῦνται. b. Et. Gen. AB s. v. ἰξός (unde EM 472, 2): ἰξός · ... ἢ παρὰ τὸ ἵκω ἵξω ἰξός· ὁ φθάνων μέχρις ἂν ᾖ ἱπτάμενα τὰ ὄρνεα. Et.

505 Gen. AB s. v. ἵστη (ex Herodiani libro Περὶ παθῶν, vide 2, 209, 5 L.), unde EM 477, 57: ἵστη · ποικίλον ἐστίν. οἱ μὲν λέγουσιν, ὅτι ὅταν ἀποκοπὴ γίνοιτο τῶν εἰς θι προστακτικῶν, ἐπαύξησις ἀκολουθεῖ, οἷον ἵσταθι καὶ κατὰ ἀποκοπὴν ἵστα καὶ ἐκτάσει ἵστη· „μέγεθος δ’ ὃς ἵστη“ (incerti auctoris, vide Call. fr. an. 95 Schn.). τὸ δὲ „μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱέ, καθίστα“ (I 202), ἀντὶ τοῦ εὐτρέπιζε, ἐὰν μὲν βραχύ, ἀποκοπή ἐστιν, ἐὰν δὲ κατ’ ἔκτασιν, ἀπὸ τοῦ ἱστῶ ἵστα, ὡς βόα. οὕτως Φιλόξενος καὶ Τρύφων (fr. 132 Velsen). a. [5]

506* Or. 77, 21 in sede Philoxeni et Or. 614, 19 Werf. (codd. HI): ἰσχάδες · παρὰ τὸ ἴσχω, οὗ παράγωγον ἰσχνῶ, ἰσχνάδες καὶ ἀποβολῇ τοῦ ν ἰσχάδες. τὰ λεπτυνθέντα σῦκα ἐν τῷ ξηραίνεσθαι. b. Et. Gen. AB s. v. ἰσχάδες · τὰ λεπτυνθέντα σῦκα ἐν τῷ ξηραίνεσθαι. παρὰ τὸ ἴσχω παράγωγον ἰσχνῶ καὶ ἐξ αὐτοῦ ἰσχνάδες, αἱ λεπταί, καὶ ἀποβολῇ τοῦ ν ἰσχάδες· „καὶ ἀπ’ Αἰγείρου ἰσχάδα τρώγοισ“ (Theocr. 1, 147). Et. [5]

507 Gud. 289, 30 St. et cod. z p. 246 (vide Reitz., Gesch. p. 81, 6 ex codd. Et. Gud. BC): Κάβιροι · ὁ Ἀλεξίων (fr. 24 Berndt) διὰ τοῦ ι· ὡσαύτως δὲ καὶ Φιλόξενος. καὶ Ἡρωδιανὸς (1, 198, 6 L.) λέγει τὴν παράδοσιν τὴν ει δίφθογγον ἔχειν. καὶ ἴσως συνέδραμε τῷ μάγειρος, αἴγειρος, πέπειρος, ὄνειρος. Schol. [5]

508* BT ad Ψ 845: καλαύροπα παρὰ τὸ ῥέπω γίνεται ῥέψω ῥὲψ ῥὸψ καὶ καλαῦροψ. Or.

509* 88, 19 in sede Philoxeni (unde Et. Gud. cod. z p. 249): καλλιγύναικα · „εἰς Ἑλλάδα καλλιγύναικα“ (B 683). ἀπὸ τῆς καλλιγύναιξ εὐθείας· ὅθεν τοῦ ξ ἀποβληθέντος τὸ ἁπλοῦν λέγεται ὦ γύναι ἐπὶ τῆς κλητικῆς, ὡς ἄναξ ἄνα· „Ζεῦ ἄνα Δωδωναῖε“ (Π 233). Or.

510* 84, 3 in sede Philoxeni: καλός · παρὰ τὸ κάζω ῥῆμα, οὗ παρακείμενος κέκασμαι καὶ μέλλων κάσω, ἀφ’ οὗ καλὸς ὄνομα. Or.

511* 87, 19 in sede Philoxeni, EM 489, 49: καπνός · παρὰ τὸ κάπω, τὸ πνέω, οὗ παράγωγον καπύω καπύσσω. καπνὸς οὖν ὁ ἀποπνέων τὸ πῦρ, ὡς ἐρέφω ἐρεμνός, στίλβω στιλπνός· ἔνθεν πολλάκις φησὶ „πυρὸς ἀϋτμὴν“ (π 290) τὸν καπνόν. Or.

512* 85, 3 in sede Philoxeni (unde Et. Gen. AB s. v. καταχήνη = EM 495, 47): καταχήνη · ἡ χάσμησις. παρὰ τὸ χαίνω ῥῆμα γίνεται χήνη καὶ καταχήνη. Or.

513* 85, 15 in sede Philoxeni (unde Et. Gen. AB s. v. κεδνός = EM 498, 52): κεδνός · ἔστι ῥῆμα κοῶ τὸ σημαῖνον τὸ νοῶ, ὁ μέλλων κοήσω καὶ ῥηματικὸν ὄνομα κοεδνός, ὡς τέρπω τερπνός, καὶ κατὰ συγκοπὴν κεδνός. a.

514 Cyrilli Lex. codd. bmN (de cod. B vide Cramer, AP 4, 185, 1), Antistoech. cod. Crypt. Za III fol. 33 V , Et. Gud. cod. z p. 260: κήλων · παρὰ τὸν κήσω μέλλοντα δηλοῦντα τὸ καύσω. ὁ θερμὸς εἰς συνουσίαν. οὕτω Φιλόξενος. b. Et. Gen. AB s. v. κήλων (unde EM 510, 51; Et. Sym. cod. V ap.

Gaisf. EM 1458 D): κήλων · ὁ θερμὸς εἰς συνουσίαν. παρὰ τὸν κήσω μέλλοντα, ὃ δηλοῖ τὸ καύσω. Herodian.

515 , De dict. solit. 43, 20 (=6 2, 949, 4 L.): δήω· οὐδὲν εἰς ω λῆγον ῥῆμα βαρύτονον καθαρὸν δισύλλαβον τῷ η παραλήγει, ἀλλὰ μόνον τὸ δήω, δήεις· „δήεις τόν γε σύεσσι παρήμενον“ (ν 407)· τὸ γὰρ ἔκηα οὐ πάντως ἐνεστῶτα τὸν κήω αἰτήσει, ὡς ἀπαιτεῖ Φιλόξενος. ἡ δὲ τοιαύτη παράληξις ἢ περισπωμένη ἐστίν, ὥσπερ τὸ θηῶ, νηῶ, 〈ἢ〉 εἴπερ βαρυνόμενα εἴη, πάντως κατὰ διάλεκτον, ὡς τὸ παίω πήω λεγόμενον παρὰ Βοιωτοῖς κτλ. Or.

516* 84, 17 in sede Philoxeni: 〈 κλεινός 〉 · κλείω κλείσω κλεινός. Or.

517* 87, 24 in sede Philoxeni (unde Et. Gen. AB s. v. κλωστήρ = Et. Sym. cod. V ap. Gaisf. EM 1485 D): κλωστήρ · παρὰ τὸ κλώθω, οὗ ὁ μέλλων κλώσω, κλωστήρ, ὡς παρὰ τὸν λάμψω λαμπτήρ. Or.

518* 86, 4 in sede Philoxeni (unde Et. Gen. AB s. v. κλώψ = EM 521, 24): κλώψ · καὶ „κλῶπα καὶ ληστήν“ (Eur. Alc. 766). παρὰ τὸν κλέψω μέλλοντα γίνεται κατὰ ἀποβολὴν τοῦ ω κλὲψ καὶ κλόψ· καὶ ἐκτάσει τοῦ ο εἰς ω κλώψ, ὡς βλέπω βλέψω βλὲψ βλὸψ καὶ βλώψ· ὅθεν „παραβλῶπές τ’ ὀφθαλμώ“ (I 503). Theogn.

519 , AO 2, 88, 16 (unde Et. Gen. AB s. v. κνήμη = EM 521, 57): κνήμη · ἀπὸ τοῦ κινῶ κινήσω κινήμη καὶ κατὰ συγκοπὴν τοῦ ι κνήμη. οὕτως Ἡρωδιανὸς (2, 246, 5 L.) καὶ Φιλόξενος. Or.

520* 86, 23 in sede Philoxeni (unde Et. Gen. AB s. v. κόλαξ = Et. Sym. cod. V ap. Gaisf. EM 1498 D): κόλαξ · παρὰ τὸ κολλᾶσθαι, κόλλαξ τις ὤν, καὶ κατὰ τὸ ἐναντίον δύσκολος εἴρηται, ὁ δυσχερῶς τινι κολλώμενος. a.

521* Or. 88, 22 in sede Philoxeni: κομιδή · κομίζω κομιδή, ἡ ἐπιμέλεια. b. Et. Gen. AB s. v. κομιδή (unde Et. Sym. cod. V ap. Gaisf. EM 1504 a.: κομιδή · θεραπεία ἢ ἐπιμέλεια. παρὰ τὸ κομίζω κομιδή. Or.

522* 86, 8 in sede Philoxeni (unde Et. Gen. AB s. v. κονιορτός = EM 528, 55): κονιορτός · παρὰ τὸ ὄρω ῥῆμα τὸ σημαῖνον τὸ διεγείρω, ὁ μέλλων ὄρσω, ῥηματικὸν ὄνομα ὀρτός, ὡς σπείρω σπαρτὸς καὶ κείρω κορμός· καὶ ἐν συνθέσει μετὰ τοῦ κόνις κονιορτός, ὁ τὴν κόνιν ὀρούων καὶ ὁρμῶν. Or.

523* 86, 11 in sede Philoxeni (unde Et. Gen. AB s. v. κοντός = EM 529, 5): κοντός · παρὰ τὸ κέντω ῥῆμα κοντός, ὡς τρέφω τροφὸς καὶ πέμπω πομπός. Or.

524* 84, 20 in sede Philoxeni: κόπος · παρὰ τὸ κέω, οὗ παθητικὸν κέομαι. Or.

525* 84, 21 in sede Philoxeni, Or. 614, 44 Werf. (codd. HI): κορμός · παρὰ τὸ κείρω. a.

526* Or. 88, 16 in sede Philoxeni: κορυθαίολος · αἰόλλω ῥῆμα, τὸ κινῶ· καὶ ἀπὸ τοῦ αἰόλλω αἰόλος καὶ σύνθετον κορυθαίολος, ὡς πάλλω σακέσπαλος. b. Et. Gen. AB s. v. κορυθαίολος (unde Et. Sym. cod. V ap. Gaisf. EM 1517 BC): κορυθαίολος · ἔστιν αἰόλλω τὸ δηλοῦν τὸ κινῶ καὶ συνεχῶς στρέφω, οἷον „ὡς δ’ ὅτε γαστέρ’ ἀνὴρ / ἐμπλείην κνίσης τε / αἰόλλῃ“ (υ 25—27) καὶ „αἰόλαι εὐλαί“ (X 509), ὅπερ ἀπὸ τοῦ ἀελλὴς γίνεται, ἢ ἀπὸ τοῦ ἄειν καὶ τοῦ εἰλεῖν, ἀφ’ οὗ ῥηματικὸν ὄνομα αἰόλος καὶ ἐν συνθέσει μετὰ τῆς κόρυθος κορυθαίολος, ὡς πάλλω πάλος καὶ σακέσπαλος. Et.

527 Gen. AB s. v. κοχλιάριον (ex Orione): κοχλιάριον · παρὰ τὸ κόχλος κοχλιάριον, πλεονασμῷ δηλονότι τοῦ ι. Φιλόξενος. a.

528 Et. Gen. AB s. v. κραιπνός (unde EM 536, 10): κραιπνός · ... παρὰ τὸ κάπω, τὸ πνέω, ὅθεν καὶ κάπος, τὸ πνεῦμα, καὶ καπνός, τὸ ἐκ καυθέντων ξύλων ἀναπεμπόμενον πνεῦμα· τοῦτο κατὰ πλεονασμὸν τοῦ ρ γίνεται καρπνὸς καὶ ἐν ὑπερθέσει κραπνὸς καὶ πλεονασμῷ τοῦ ι κραιπνός. Φιλόξενος. Ὠρίων. b. Or. 88, 5: κραιπνός · παρὰ τὸ κάπω, τὸ πνέω, ὅθεν κάπος, τὸ πνεῦμα, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καπνός· καὶ πλεονάσαντος τοῦ ρ καρπνὸς ἐλέχθη, καὶ μεταθέσει τοῦ ρ καὶ προσθέσει τοῦ ι κραιπνός. a.

529* Or. 86, 27 in sede Philoxeni: κύμβαλα · 〈 *** 〉 οἷον κύφαλά τινα ὄντα· κατὰ συγγένειαν τοῦ φ πρὸς τὸ β καὶ κατὰ πλεονασμὸν τοῦ μ. b. Et. Gen. AB s. v. κύμβαλα (unde EM 545, 33): κύμβαλα · παρὰ τὸ κυφόν, κύφαλά τινα ὄντα. Or.

530 88, 13 (unde Et. Gen. AB s. v. κυρκανᾷ, de cod. B vide Miller, Mélang. p. 199 = EM 548, 42): κυρκάνη · ἡ ταραχὴ καὶ ὁ βόρβορος εἴρηται παρὰ τοῖς παλαιοῖς. παρὰ τὸ κυκῶ ῥῆμα, τὸ ταράσσω, κυκάνη καὶ πλεονασμῷ τοῦ ρ κυρκάνη. οὕτω Φιλόξενος. a.

531 Or. 81, 6: κυψέλη · τὸ κοῖλον τοῦ ὠτίου, διὰ τὸ {κοῖλον καὶ} κυφὸν καὶ κογχοειδὲς καὶ τοῖς ἀγγείοις ἐοικέναι. κυψελίς, ὁ ῥύπος ὁ ἐν τῷ ὠτίῳ φυόμενος. Φιλόξενος. b. Et. Gen. AB s. v. κυψέλη (unde EM 549, 22; Et. Gud. cod. z p. 283): κυψέλη · πλεκτὸν ἀγγεῖον. λέγεται δὲ καὶ τὸ κοῖλον τοῦ ὠτίου, διὰ τὸ κυφόν τε καὶ κογχοειδὲς καὶ τοῖς ἀγγείοις ἐοικέναι. καὶ κυψελίς, ὁ ῥύπος ὁ ἐν τῷ ὠτίῳ φυόμενος. Or.

532* 84, 18 in sede Philoxeni, EM 551, 5: κῶμα · ἀπὸ τοῦ κοιμῶ κοιμήσω γίνεται κοίμημα, συγκοπῇ κοῖμα καὶ τροπῇ τῆς οι εἰς ω κῶμα. Or.

533* 86, 14 in sede Philoxeni: κωτίλος · πλεονασμός ἐστι τοῦ ω· κτίλος γὰρ ἦν, ὁ κριός, ὅπερ καταστρέφει εἰς τὸ πρᾶον· πρέπεται γὰρ τῇ πραότητι τὸ κολακεύειν. Or.

534* 96, 14 et Or. 614, 58 Werf. (codd. HI), EM 554, 5: λάβραξ · παρὰ τὸ λάβρως ἐσθίειν· ἀδηφάγον γάρ ἐστι τὸ ζῷον. Or.

535 94, 5: λάβρος · παρὰ τὸ λάπτω. οὕτω Φιλόξενος. Or.

536* 96, 10 (unde Ep. alph. AO 2, 387, 16 = Et. Gud. 360, 48 St., cod. z p. 286): λαῖλαψ · παρὰ τὸ λάπτω, ὁ μέλλων λάψω, καὶ ἀποβολῇ τοῦ ω λάψ, ὡς φυλάξω φύλαξ, ἑλίξω ἕλιξ, καὶ κατὰ ἀναδιπλασιασμὸν λάλαψ, μετὰ προσθέσεως τοῦ ι λαῖλαψ. δηλοῖ δὲ τὴν λίαν {καὶ} σφοδρὰν καὶ ἐπιτεταμένην λαβρότητα τοῦ πνεύματος. Or.

537* 96, 18 et Or. 615, 3 Werf. (unde Et. Gud. 362, 8 St., cod. z p. 287 = EM 556, 14): λάξ · παρὰ τὸ λήγω ῥῆμα, οὗ μέλλων λήξω, λὴξ καὶ λάξ· διὰ τὸ τῷ λήγοντι μέρει τοῦ ποδὸς, τουτέστι τῷ ἄκρῳ, πλήττειν. et.

538* Gen. λ 37 Adler—Alpers (unde EM 557, 4; Et. Gud. cod. z p. 288): λάρος · τὸ ὄρνεον· ὁ ἀπολαυστικὸν ἔχων τὸν νοῦν· „λάρῳ ὄρνιθι ἐοικώσ“ (ε 51). a.

539* Or. 95, 23 in sede Philoxeni: λεπτός · παρὰ τὸ λέπω, ὅ ἐστι λεπίζω. b. Et. Gen. λ 66 Adler—Alpers (unde EM 560, 42): λεπτός · ... ἢ λέπω λεπτός, ὁ ἐξελεπισμένος. Or.

540 94, 3 (unde Et. Gud. 369, 32 St.; EM 564, 41): λίβανος · παρὰ τὸ λείβω, τὸ σπένδω. τὸ εἰς σπονδὰς καὶ θυσίας ἐπιτήδειον. οὕτω Φιλόξενος. Et.

541 Gen. λ 183 Adler—Alpers (ex Choer. Orth.), unde Et. Sym. cod. V ap. Gaisf. EM 1611 D: λιτός · σημαίνει τὸν εὐτελῆ καὶ ἀποίκιλον χιτῶνα. λέγει ὁ Δίδυμος (p. 339 Schmidt) παρὰ τὸ λεῖος εἶναι διὰ τῆς ει. ἡ δὲ παράδοσις διὰ τοῦ ι, ὥς φησιν Φιλόξενος· τὰ γὰρ διὰ τοῦ ιτος ἀποστρέφονται τὴν 〈διὰ τῆσ〉 ει διφθόγγου γραφήν, οἷον σῖτος, ἐπαφρόδιτος, λήϊτος, Θεοδώριτος, Μούνιτος. οὕτως οὖν καὶ τὸ λιτὸς διὰ τοῦ ι. Et.

542 Gud. 375, 54 St. et cod. z p. 298 (de cod. z vide Gaisf. EM 1624 F): μάγειρος · ... Φιλόξενος δὲ λέγει, ὅτι παρ’ Αἰολεῦσιν ἡ γραφὴ διὰ τοῦ ι ἐστὶ μάγιρος. Schol.

543 A ad N 809 a Erbse (ex Herodiano, vide 2, 88, 22 L.): { μακρὰ} βιβάσθων · Τυραννίων (fr. 32 Planer) περισπᾷ, οὐχ ὑγιῶς· ὁ γὰρ χαρακτὴρ βαρεῖαν τάσιν ἀπαιτεῖ, εἴτε ἀπὸ τοῦ βιβῶ βιβάθω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γενομένου τοῦ ῥήματος περιπλεονάσαντος τοῦ ς, ὥς φησι Φιλόξενος, εἴτε ἀπὸ ὀνόματος τοῦ βιβαστὸς βιβάσθων, ὡς ἀϊστὸς ἀΐσθων· γίνεται γάρ τινα κτλ. Or.

544* 104, 5 in sede Philoxeni: μάραγδος · παρὰ τὸ μαίρω, 〈ὁ μέλλων μαρῶ〉 , οὗ παράγωγον μαράσσω, ὄνομα μάραγδος· τὸ διαυγὲς γὰρ μάραγδον ἔλεγον οἱ παλαιοί. a.

545 Or. 97, 3: μάρτυς · ... ὁ δὲ Φιλόξενός φησι παρὰ τὸ μαίρω, τὸ λάμπω· ὁ λαμπρύνων καὶ εἰς φῶς ἄγων τὸ προκείμενον, δι' ὧν μαρτυρεῖ. μαίρω μάρτος μάρτυς τροπῇ τοῦ ο εἰς υ. b. Or. 180, 23 Koes. (= 144 M.-C.): μάρτυς · παρὰ τὸ μαίρω τὸ σημαῖνον τὸ λαμπρύνω· μάρτυς γὰρ ὁ τὰ ἀφανῆ λέγων καὶ λαμπρύνων. ἐκ τούτου γίνεται καὶ μάρμαρον. c. EM *574, 141: μάρτυς· ... ἢ παρὰ τὸ μαίρω, τὸ λάμπω, μάρτος καὶ μάρτυς τροπῇ τοῦ ο εἰς υ, ὁ λαμπρύνων καὶ εἰς φῶς ἄγων τὸ ζητούμενον δι' ὧν μαρτυρεῖ. a.

546* Et. Gud. 380, 17 St., cod. z p. 300: μάταιος · παρὰ τὸ μάτος, ὅπερ εἴρηται παρὰ τὴν ἄτην, μάτιος, ὡς φίλος φίλιος καὶ Φίλαιος, οὕτω μάτιος, ἀφ' οὗ ματία καὶ μάταιος, ὡς παρὰ τὸ θάλασσα θαλάσσιος θαλασσαῖος. Καλλίμαχος (fr. 533 Pf.)· „πουλὺ θαλασσαίων μυνδότεροι νεπόδων". ὡς παρὰ τὴν ὥραν ὥριος καὶ ὡραῖος. b. EM *574, 253 (s. v. μάτην): 〈μάταιοσ〉 · παρὰ τὸ μάτος μάτιος καὶ μάταιος, ὡς φίλος φίλιος καὶ Φίλαιος καὶ παρὰ τὸ θάλασσα θαλάσσιος καὶ θαλασσαῖος. Καλλίμαχος (fr. 533 Pf.). ὁμοίως ὥριος καὶ ὡραῖος. ἐκ τοῦ ἆτος γίνεται μάτος, ὁ λίαν ἐν ἄτῃ ὢν καὶ φρενοβλαβίᾳ· ἔνθεν ματία, ὡς σοφὸς σοφία· καὶ „ἡμετέρῃ ματίῃ" (κ 79). ἐκ τούτου μάτος· καὶ γίνεται ῥῆμα ματῶ· „οὐδ' ἐμάτησεν" (Π 474). a.

547* Or. 104, 3 in sede Philoxeni: μαυροῦσι (Hes. Op. 325)· κατὰ ἀντίφρασιν 〈ἀπὸ〉 τοῦ μαίρω δηλοῦντος τὸ λάμπω. b. Et. Gen. AB s. v. μαυροῦσι (unde EM *574, 277; Et. Sym. cod. V ap. Gaisf. EM 1637 B): μαυροῦσι · ... παρὰ τὸ μαίρω, τὸ λάμπω, μαυρῶ κατὰ ἀντίφρασιν. a.

548* Or. 103, 26 in sede Philoxeni: μῆτις · παρὰ τὸ μήδω μήσω μέλλων, ῥηματικὸν ὄνομα μῆσις καὶ μεταθέσει τοῦ ς εἰς τ μῆτις. ἀπὸ δὲ τοῦ μήδω τὸ μῆδος· καὶ βασιλεῖς οἱ μέδοντες παρὰ τὸ μήδω ὁμοίως, οἷς εὐβουλίας δεῖ· ὅθεν βουληφόροι εἴρηνται. b. Et. Gen. AB s. v. μῆτις (unde EM 584, 57): μῆτις · ἡ βουλή. παρὰ τὸ μήδω, τὸ βουλεύομαι, ὁ μέλλων μήσω, ῥηματικὸν ὄνομα μῆσις καὶ μῆτις· ἐξ οὗ καὶ τὸ ἀγκυλόμητις καὶ μητιόεις καὶ „μητιόεντα" (δ 227), οἷον εὖ ἐπινενοημένα καὶ ἐνεργά. ἐκ δὲ τοῦ μήδω καὶ τὸ μῆδος ῥηματικὸν ὄνομα, ἐξ οὗ τὸ „μήδεα πυκνά" (Γ 202). Et.

549 Gud. cod. z p. 317 s. v. μοχλός, EM 592, 18: μοχλός · ... Φιλόξενος δέ φησιν, ὅτι οὐ κατὰ τὴν νῦν χρῆσιν εἴρηται ὁ μοχλός παρ' Ὁμήρῳ, ἀλλ' ἐπιβλὴς (Ω 453) καὶ ὀχεύς (Φ 537, al.) εἴρηται παρ' αὐτῷ· μοχλὸν γὰρ λέγουσιν οὐ τὸν συνέχοντα τὰς θύρας, φησίν, ἀλλὰ μοχλὸν λέγουσιν, ἡνίκα ἂν δέῃ μοχλεῦσαί τι καὶ σαλεῦσαι. οὕτως οἶδε τὴν ἐτυμολογίαν τοῦ ὀνόματος ὁ ποιητής· ὅτι παρὰ τὸ ὀχλῶ, τὸ κινῶ καὶ μοχλεύω. τοιγαροῦν ἐπὶ τοῦ Κύκλωπός φησιν· „ἐμοὶ σὺν μοχλὸν ἀείρας / τρῖψαι ἐν ὀφθαλμῷ" (ι 332—33). καὶ „οἱ μὲν μοχλὸν ἑλόντες {ἐμόχλευον}" (ι 382) „στήλας τε προβλῆτας ἐμόχλεον" (Μ 259) καὶ „μοχλοῖσιν 〈δ'〉 ἄρα τήν γε κατείρυσεν εἰς ἅλα δῖαν" (ε 261). ἐκ τοῦ ὄπισθεν τὴν σχεδίαν μοχλοῖς ἐρείδων ἐκίνει εἰς τοὔμπροσθεν. οἱ δὲ μετὰ τὸν ποιητὴν ὡς ἡ συνήθεια ἐχρήσαντο τῷ ὀνόματι. Or.

550 103, 5 et Or. 615, 20 Werf. (codd. HI): μοχλός · ... ἀλλαχοῦ δέ φησι παρὰ τὸ μολῶ μολὸς καὶ πλεονασμῷ τοῦ χ μοχλός. Or.

551 108, 9 (unde Et. Gen. A s. v. νέφος, om. B = EM 601, 46): νέφος · ... ἢ παρὰ τὸ νείφω, τὸ βρέχω. οὕτω Φιλόξενος. a.

552 Cyrilli Lex. codd. bN (de cod. b vide Cramer, AP 4, 186, 20), Antistoech. cod. Crypt. Za III fol. 40 r , Et. Gud. 408, 49 St. et cod. z p. 325: νήπιος · παρὰ τὸ νη στερητικόν· κατὰ στέρησιν τοῦ εἰπεῖν καὶ λαλεῖν, οἷον νηέπιος καὶ νήπιος κατὰ συναλιφήν. ὁ λέγειν μὴ δυνάμενος. οὕτω Φιλόξενος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

b. Et. Gen. AB s. v. νήπιος (unde EM 604, 16): νήπιος · … ἢ παρὰ τὸ νη στερητικὸν καὶ τὸ εἰπεῖν γέγονε νηέπιος καὶ κατὰ συναίρεσιν νήπιος. ὁ μὴ δυνάμενος λέγειν. Et.

553* Gen. AB s. v. νύξ (unde EM 608, 56): νύξ · παρὰ τὸ νύσσω, τὸ κάμπτω, νύξω νύξ, δι' ἧς καμπτόμεθα· ἡ νύσσουσα ἡμᾶς πρὸς ὕπνον. Or.

554 112, 9 (unde Et. Gen. AB s. v. ξόανον = EM 611, 12; Et. Gud. 415, 55 St.): ξόανον · παρὰ τὸ ξέω ξέανον καὶ τροπῇ τοῦ ε εἰς ο ξόανον. οὕτω Φιλόξενος. Or.

555 111, 12 (unde Et. Gen. AB s. v. ξύλον = EM 611, 19; Et. Gud. 416, 34 St.): ξύλον · παρὰ τὸν ξύσω μέλλοντα· οὐδεμία γὰρ ὕλη πρὸς ξύσιν ἐπιτηδειοτέρα τοῦ ξύλου. οὕτω Φιλόξενος. Or.

556* 112, 8 in sede Philoxeni: ξυρόν · παρὰ τὸ ξύω ξυρόν. Et.

557 Gen. AB s. v. ὀβολός (vide Reitz., Gesch. p. 59), unde EM 613, 20: ὀβολός· … ὁ δὲ Ὦρος λέγει, ὅτι τὸ στήσασθαι 〈τὸ〉 δανείσασθαι δηλοῖ. ὀβολοστάτης οὖν ὁ τὰ μικρὰ δανείζων 〈τοῖσ〉 φίλοις. Φιλόξενος. Or.

558* 119, 16 in sede Philoxeni (unde Et. Gud. 421, 10 St., cod. z p. 334 = EM 617, 10): οἶδμα · τὸ κῦμα. ἐκ τοῦ οἰδῶ, τὸ ἐξογκοῦμαι, οἰδήσω οἴδημα καὶ συγκοπῇ οἶδμα. a.

559 Et. Gen. AB s. v. οἶμος (unde EM 618, 2): οἶμος · … ὁ δὲ Φιλόξενός 〈φησιν, ὅτι〉 παρὰ τὸν οἴσω μέλλοντα γέγονεν οἶμος, ἡ ὁδός, δι' ἧς παντοίας φέρονται φορὰς οἱ κατ' αὐτὴν ὁδεύοντες τῇδε κἀκεῖσε. b. Or. 114, 3: οἶμος · … ὁ δὲ Φιλόξενος παρὰ τὸν οἴσω μέλλοντα. a.

560* Or. 122, 5 in sede Philoxeni: ὀκριόεις · ὁ τραχὺς λίθος. τροπῇ τοῦ α εἰς ο, ἀκριόεις τις ὤν. ἄκριας δὲ τὰς πέτρας ὁ ποιητὴς καλεῖ (ι 400)· „δι' ἄκριας ἠνεμοέσσασ“. καὶ ἔστιν ἄκρος ἀκρόεις καὶ πλεονασμῷ τοῦ ι 〈 *** 〉 ὀκριόεις, ὡς βροτὸς βροτόεις. b. Et. Gen. AB s. v. ὀκριόεις (unde EM 621, 6): ὀκριόεις · ὁ τραχὺς λίθος. ἄκριας δὲ τὰς πέτρας φησὶν Ὅμηρος (ι 400)· „δι' ἄκριας ἠνεμοέσσασ“. παρὰ τὸ ἄκρος καὶ τὴν ἐξοχήν ἐστιν ἄκριος κατὰ πλεονασμὸν τοῦ ι. ἢ κατὰ παραγωγὴν γίνεται ἄκριος, ὡς Αἰτωλὸς Αἰτώλιος καὶ Βοιωτὸς Βοιώτιος. ἐκ δὲ τοῦ ἄκρος γίνεται ἀκριόεις, ὡς βροτὸς βροτόεις, καὶ τροπῇ τοῦ α εἰς ο ὀκριόεις. καὶ τὸ θηλυκὸν ὀκριόεσσα. Or.

561* 120, 21 in sede Philoxeni (unde Et. Gen. AB s. v. ὁλκός = EM 622, 4; Et. Gud. 425, 59 St., cod. z p. 338): ὁλκός · παρὰ τὸ ἕλκω ὁλκός, ὡς ἔχω ὀχός. Or.

562* 121, 31 in sede Philoxeni: ὁμαρτεῖν · συγκοπῇ ἐκ τοῦ ἅμα ἐπιρρήματος καὶ τοῦ ἄρω βαρυτόνου ῥήματος 〈 *** 〉. a.

563* Or. 122, 1 in sede Philoxeni (unde Cyrilli Lex. codd. bN): ὁμηρεῦσαι (Hes. Th. 39)· παρὰ τὸ ἀρῶ, τὸ ἁρμόζω 〈 *** 〉 ταῖς φωναῖς ἀλλήλαις ἡρμοσμέναι τε καὶ ἀρηρυῖαι. b. Et. Gen. AB s. v. ὁμηρεῦσαι · ὁμοῦ ἦρσαι· „φωνῇ ὁμηρεῦσαι“, ὡς παρ' Ἡσιόδῳ (Th. 39). a.

564* Or. 122, 3 in sede Philoxeni: ὅμηροι · οἱ ἐπὶ ὁμονοίᾳ διδόμενοι. παρὰ τὸ ἀρῶ, τὸ ἁρμόζω, καὶ τὸ ὁμοῦ. b. Et. Gud. 427, 30 St., cod. z p. 339: ὅμηροι · παρὰ τὸ ἀρῶ, τὸ ἁρμόζω. οἱ ἐπὶ εἰρήνῃ καὶ ὁμονοίᾳ διδόμενοι παῖδες ἐνέχυρα. a.

565* Or. 122, 9 in sede Philoxeni: ὀμιχεῖν · τὸ οὐρεῖν. παρὰ τὴν ἀμίδα καὶ τὸ χέω, οἷον ἀμιδαχεῖν· τροπῇ τοῦ α εἰς ο καὶ συγκοπῇ ὀμιχεῖν. b. Et. Gen. AB s. v. ὀμιχεῖν (unde EM 624, 4): ὀμιχεῖν · σημαίνει δὲ τὸ οὐρεῖν καὶ χεῖν τὴν ἀμίδα, οἷον ἀμιδαχεῖν· καὶ συγκοπῇ καὶ τροπῇ τοῦ α εἰς ο ὀμιχεῖν. Or.

566* 119, 17 in sede Philoxeni: ὄνειαρ · ὀνῶ ὄναρ, καὶ πλεονασμῷ τῆς ει διφθόγγου ὄνειαρ. a.

567 Or. 118, 11 (unde Et. Gud. cod. z p. 341): ὄξος · ἐπεὶ τέμνει καὶ κεντρίζει ὡς εἰπεῖν τὴν γεῦσιν. καὶ ὀξεῖαν σταφυλὴν λέγομεν τὴν κεντρίζουσαν ἡμῶν τὴν γεῦσιν, καὶ ἄνθρωπον ὀξὺν τὸν ταχέως θυμούμενον, καὶ μάχαιραν ὀξεῖαν τὴν ἠκονημένην. Κυρηναῖοι δὲ τὸ ὄξος ἦδος λέγουσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ ἀντίφρασιν. δύναται δὲ τὸ ὀξὺ τὸν μεταβεβληκότα οἶνον εἰρῆσθαι. ὀξὺς ὄξος, ὡς ταχὺς τάχος, παχὺς πάχος, εὐρὺς εὖρος. οὕτω Φιλόξενος. b. Et. Gen. AB s. v. ὄξος (ex Orione), unde EM 626, 51; cf. Et. Sym. cod. V ap. Gaisf. EM 1781 B: ὄξος · ὡς παρὰ τὸ παχὺς γίνεται πάχος καὶ ταχὺς τάχος, οὕτω καὶ παρὰ τὸ ὀξὺς ὄξος, τουτέστιν ὁ εἰς ὀξὺ μεταβεβληκὼς οἶνος, ἐπειδὴ τέμνει καὶ κεντρίζει ὡς εἰπεῖν τὴν γεῦσιν. οὕτω καὶ ὀξεῖαν σταφυλὴν λέγομεν τὴν κεντρίζουσαν τὴν γεῦσιν, καὶ ὀξὺν ἄνθρωπον τὸν ταχέως θυμούμενον, καὶ μάχαιραν ὀξεῖαν τὴν ἠκονημένην. οἱ δὲ Κυρηναῖοι τὸ ὄξος ἧδός φασι καὶ ἄλλοι γλυκάδιον. Ὠρίων. a.

568 Or. 120, 22: ὀπαδός · τὸ πρωτότυπον τῆς λέξεως ἕπω, οὗ παθητικὸν ἕπομαι, ὥσπερ ἀπὸ τοῦ πέμπω πέμπομαι. 〈ὡς παρὰ τὸ〉 ἕλκω ὁλκός, οὕτω καὶ ἕπω ὀπὸς ὀξύτονον· τούτου ῥῆμα παράγωγον ὀπάζω, ὡς γυμνὸς γυμνάζω, ἵππος ἱππάζω, μόνος μονάζω. οὕτω καὶ ὀπάζω ὀπαδός 〈 *** 〉 ὄπις, ἡ ἐξόπισθεν ἑπομένη τίσις. ἀπὸ δὲ τῶν εἰς ζω καὶ διὰ τοῦ ς κλινομένων μελλόντων ῥηματικὰ ἐκπίπτει ὀνόματα διὰ τοῦ δ, οἷον φράζω φραδή, κομίζω κομιδή· οὕτως ἀπὸ τοῦ ὀπάσω μέλλοντος ὀπαδὸς γίνεται δὲ τοῦ α βραχέος μεταβληθέντος εἰς η ὀπηδός· Ὅμηρος (Ω 368)· „γέρων δέ τοι οὗτος ὀπηδεῖ“. Φιλόξενος. b. Et. Gen. AB s. v. ὀπαδός (unde EM 627, 10): ὀπαδός · ὁ ἀκόλουθος. ὡς παρὰ τὸ πέμπω γίνεται πομπὸς καὶ παρὰ τὸ φέρβω φορβὸς καὶ συφορβός, καὶ ἕλκω ὁλκός, οὕτως καὶ παρὰ τὸ ἕπω, τὸ ἀκολουθῶ, γίνεται ὀπός, ἐξ οὗ παράγωγον ὀπάζω, ὡς γυμνὸς γυμνάζω, μόνος μονάζω, ἵππος ἱππάζω, οἷον „ὣς Ἕκτωρ ὤπαζεν“ (Θ 341), οἱονεὶ ἑπόμενος ἐδίωκεν· παρέπεται γὰρ τῷ διώκοντι ἕπεσθαι τῷ διωκομένῳ, οἷον „δὴ τότ’ ἐγὼ κήρυκά τ’ ὀπασσάμενος καὶ ἑταῖρον“ (κ 59), ἀντὶ τοῦ ἕπεσθαι ποιήσας, ὡς τὸ „οἶνον δὲ φθινύθουσι“ (α 250), ἀντὶ τοῦ φθίνειν ποιοῦσιν. καὶ ὄπις, ἡ ἐξόπισθεν ἑπομένη τίσις. ἐκ τοῦ οὖν ὀπάζω ὀπάσω γίνεται ὀπαδός, ὡς φράζω φράσω φραδή, κομίζω κομίσω κομιδή. ἐκ δὲ τοῦ ὀπαδὸς γίνεται κατὰ μετάθεσιν ὀπηδός, ἐξ οὗ ῥῆμα ὀπηδεῖ· „γέρων δέ τοι οὗτος ὀπηδεῖ“ (Ω 368). Or.

569* 122, 11 in sede Philoxeni (unde Et. Gen. AB s. v. ὄρος = EM 632, 45): ὄρος · τὸ οὐδέτερον. παρὰ τὸ αἴρω, τὸ ἐπαίρω, ἄρος ἐστὶ καὶ ὄρος· τὸ ἐπαιρόμενον εἰς ὕψος ἀπὸ τῆς γῆς. ἢ παρὰ τὸ ὄρω, τὸ ὁρμῶ, οὗ παράγωγον ὀρούω, γίνεται ὄρος. καὶ περισπώμενον λέγεται ὀρῶ, ἔνθεν τὸ „αὐτίκ’ 〈ἔπειτα καὶ〉 ἄμμι παρ’ αὐτόθι νεῖκος ὀρεῖται“ (Υ 140). a.

570* Or. 122, 18 in sede Philoxeni, Or. 615, 53 Werf. (codd. HI): ὅσιος · ἀπὸ τοῦ ἅζω ἅσω ἅσιος καὶ τροπῇ τοῦ α εἰς ο ὅσιος. b. Et. Gen. AB s. v. ὅσιος (unde EM 635, 41): ὅσιος · παρὰ τὸ ἅζω, τὸ σέβομαι, γίνεται ἅσιος καὶ τροπῇ τοῦ α εἰς ο ὅσιος. a.

571* Or. 120, 19 in sede Philoxeni: ὄτριχας οἰέτεας (Β 765)· οἷον ὁμότριχας. καὶ 〈ἐν〉 τῷ οἰέτεας ἐπλεόνασε τὸ ι ὁμοέτεας. b. Et. Gen. AB s. v. ὄτριχας · ὁμοιότριχας. Ὅμηρος (Β 765)· „ὄτριχας οἰέτεασ“, οἱονεὶ ὁμοέτεας. ὁμοιότριχας καὶ ὄτριχας κατὰ συγκοπήν. Et.

572 Gen. AB s. v. οὐδὸν ἐς λαύρην (e Schol. Hom.; de cod. B vide Miller, Mélang. p. 231), unde EM 615, 12: οὐδὸν ἐς λαύρην (χ 128)· τὴν δημοσίαν ὁδόν. λαύρην δὲ Φιλόξενος τὴν ῥύμην φησὶ κατὰ τὸ ἔτυμον, δι’ ἧς ὁ λαὸς ῥεῖ. a.

573* Or. 123, 14 in sede Philoxeni: οὖσα · οἴω, τὸ κομίζω, οἴσω· ὄνομα οὐδέτερον οἶσον καὶ οὖσον, τὸ σχοινίον, τροπῇ τοῦ ι εἰς υ, ὡς παρὰ τὸ καίω καύσω. b. Et. Gud. 442, 35 St., cod. z p. 351 (unde EM 642, 43): οὖσα · ... παρὰ τὸ οἴσω, τὸ κομίσω, ὄνομα οὐδέτερον οἶσον καὶ τροπῇ τοῦ ι εἰς υ οὖσον, ἐν ᾧ κομίζεται ἡ ναῦς· παρὰ Λυκόφρονι (Al. 20)· „οἱ δ’ οὖσα γρώνης εὐγάληνα χερμάδοσ“. Or.

574 135, 21 (unde Et. Gen. AB s. v. παγίς = EM 646, 43): παγίς · παρὰ τὸ πήσσω πηγὶς καὶ παγίς. οὕτως Φιλόξενος. Or.

575*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

134, 3 in sede Philoxeni (unde Et. Gen. AB s. v. παλαίω = EM 647, 21): παλαίω · παρὰ τὸ πάλλω, τὸ σείω, παλαίω. Or.

576* 135, 14 in sede Philoxeni (unde Et. Gen. AB s. v. παραβλῶπες = EM 651, 42): παραβλώψ · παρὰ τὸν βλέψω μέλλοντα βλὲψ ἀποβολῇ τοῦ ω, καὶ τροπῇ τοῦ ε εἰς ο βλὸψ καὶ ἐπεκτάσει τοῦ ο εἰς ω βλὼψ καὶ σύνθετον παραβλώψ. Or.

577* 134, 26: πέλας · παρὰ τὸ πελάζω ῥῆμα, ὁ μέλλων πελάσω καὶ ἀποβολῇ τοῦ ω πέλας τὸ ἐπίρρημα, ὡς παρὰ τὸ χωρίζω χωρίσω χωρίς. Schol.

578 A ad Σ 410 D (ex Herodiano, vide 2, 108, 9 L.): πέλωρ αἴητον · ... ἐγὼ δὲ ἐπιζητῶ τὸ „ἄητον“ (Φ 395) πῶς δυνατὸν τρίτην ἀπὸ τέλους ἔχειν τὴν ὀξεῖαν ἐπιθετικῶς κείμενον. μήποτε οὖν ὀφείλομεν πείθεσθαι τῷ Φιλοξένῳ· φησὶ γὰρ αὐτὸ σύνθετον εἶναι παρὰ τὸ ἐτός, ὡς θετός, ὃ σημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθές, ὃ καὶ γίνεται ἐτεός. ἐγένετο δὲ καὶ τὸ πληθυντικὸν οὐδέτερον ἐν ἐπιρρηματικῇ τάξει· „ὡς ἐτὰ Τημενίδος χρύσεον γένοσ“ (Call. fr. inc. 780 Pf.), καὶ τὸ παρὰ τοῖς Ἀττικοῖς „οὐκ ἐτόσ“, ἀντὶ μεσότητος τῆς ἐτῶς. τὸ παρὰ μηδενὶ οὖν ὑπαρκτόν, τουτέστι μέγα, ἄετον καὶ ἄητον. καὶ δῆλον ὅτι ἀπολέλυται ὁ τόνος· ὁρᾶται γὰρ σύνθετα τοιαῦτα βαρυνόμενα, ἄρρητον ἄκλητον ἄκμητον· οὕτως ἄητον. a.

579 Or. 135, 29: πλεῖν · συναλιφῇ τοῦ πλέον, ὡς τὸ δέον δεῖν. οὕτω Φιλόξενος. b. Et. Gen. AB s. v. πλεῖν · ἀπὸ τοῦ πλέον πλεῖν, ὡς δέον δεῖν. οὕτω Φιλόξενος. Cyrilli Lex.

580 codd. bN (de cod. b vide Cramer, AP 4, 188, 25), Et. Gud. 474, 24 St. et cod. z p. 378 (de cod. z vide Gaisf. EM 1921 B): Πολύϊδος · οὕτως καὶ Ἀπολλώνιος ὁ τοῦ Ἀρχιβίου· καὶ ἔστι, φησί, πολυΐδμων, μάντις ὤν. οὕτως δὲ καὶ τὸ δρᾶμα ἐπιγράφεται παρὰ Ἀριστοφάνει (I 508 K.)· μαρτυρεῖ δὲ καὶ Φιλόξενος. καὶ Σοφοκλῆς δ’ ἐν Μάντεσι (fr. 358 N. 2 = 390 P.) συνέστειλεν· „ὁρῶ πρόχειρον Πολυΐδου τοῦ μάντεωσ“. καὶ πάλιν (Soph. fr. 359 N. 2 = 391 P.) „ οὐκ ἔστιν εἰ μὴ Πολυΐδῳ τῷ Κοιράνου“. Or.

581* 135, 25 in sede Philoxeni (unde Et. Gen. AB s. v. πομφόλυγες = EM 682, 14): πομφόλυξ · παρὰ τὸ παμφλάζω ῥῆμα ἄλλο παράγωγον γίνεται παμφαλύζω, ὁ μέλλων παμφαλύξω, ῥηματικὸν ὄνομα παμφάλυξ καὶ τροπῇ τῶν δύο αα εἰς δύο οο πομφόλυξ. a.

582 Or. 134, 4 (unde Ep. Hom. AP 3, 348, 1; Et. Gud. 475, 37 St., cod. z p. 379): πόντος · παρὰ τὸ πένω τὸ δηλοῦν τὸ ἐνεργῶ καὶ κάμνω, ἀφ’ οὗ πόνος καὶ κατὰ πλεονασμὸν τοῦ τ πόντος, καθ’ ὃν πεπόνηται τὸ τῶν ἀνθρώπων γένος περὶ τὸν πλοῦν· πόνων οὖν ἐπώνυμος ὁ πόντος. οὕτω Φιλόξενος. b. Et. Gen. AB s. v. πόντος (cf. EM 682, 32. 36 mutato ordine): πόντος · παρὰ τὸ πένω, τὸ ἐνεργῶ, ἀφ’ οὗ πόνος καὶ πόντος, καθ’ ὃν πεπόνηται περὶ τὸν πλοῦν τὸ τῶν ἀνθρώπων γένος· πόνων ἐπώνυμος ὁ πόντος. Cyrilli Lex.

583 cod. b fol. 257 V (vide Cramer, AP 4, 189, 9): προύνεικοι · λέγονται οἱ μισθοῦ τὰ ὤνια κομίζοντες ἐκ τῆς ἀγορᾶς 〈 *** 〉 δῆλον δέ ἐστιν, 〈ὅτι〉 εἴτε κατὰ τὸν Ἀλεξίωνος λόγον (fr. 9 Berndt), εἴτε κατὰ τὸν Δημητρίου διὰ 〈τῆσ〉 ει διφθόγγου 〈ἡ〉 γραφή ἐστι· παρὰ γὰρ τὸ ἐνεῖκαι. οὕτω καὶ Φιλόξενος. Or.

584* 136, 13 in sede Philoxeni (unde Et. Gen. AB s. v. πτύον = EM 695, 10; Et. Gud. 485, 46 St. et cod. z p. 388): πτύον · παρὰ τὸ πτύω· τὸ ἀποπτύον καὶ ἀπορρίπτον τῶν καρπῶν τὰ ἄχυρα. Or.

585* 133, 34 in sede Philoxeni (unde Et. Gen. AB s. v. πτώξ = EM 695, 19): πτώξ · τοῦ πτῶ παράγωγον πτώσσω, ὁ μέλλων πτώξω καὶ ἀποβολῇ τοῦ ω πτώξ. Or.

586* 133, 29 in sede Philoxeni (unde Et. Gen. AB s. v. πύξ = EM 691, 51): πύξ · παρὰ τὸ πτύσσω ῥῆμα, οὗ μέλλων πτύξω, ἀποβολῇ τοῦ ω πτύξ, καὶ ἀποβολῇ τοῦ τ πύξ· παρὰ τὸ πτύσσειν τοὺς δακτύλους ἐν τῷ πλήττειν. Or.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

587* 134, 20 in sede Philoxeni (unde Et. Gen. AB s. v. πυτίζω = EM 697, 57): πυτίζειν · παρὰ τὸ πτύω πτυτίζω ἐστὶν παράγωγον καὶ ἀποβολῇ τοῦ τ πυτίζω, ὡς παρὰ τὸ πτύσσω πτύξω πτὺξ καὶ ἀποβολῇ τοῦ τ πύξ. Et.

588 Gen. AB s. v. Ῥαικός (de cod. B vide Miller, Mélang. p. 260): Ῥαικός · Ἐπίχαρμος (fr. 184 Kaibel). Φιλόξενος δὲ εἶναι Γραικός, καὶ ἀποβολῇ τοῦ γ Ῥαικός. Or.

589* 139, 15 (unde Et. Gen. AB s. v. ῥώψ, de cod. B vide Miller, Mélang. P. 263 Et. Sym. cod. V ap. Gaisf. EM 1990 F): ῥώψ · βοτάνη ἁπαλή. παρὰ τὸ ῥέπω ῥέψω ῥὲψ καὶ ῥὸψ καὶ τροπῇ τοῦ ο εἰς ω ῥώψ, ὡς βλέπω βλέψω βλὲψ καὶ βλώψ, ἐξ οὗ τὸ „παραβλῶπεσ“ (I 503). a.

590* Or. 147, 21 in sede Philoxeni, Or. 616, 28 Werf. (codd. HI): σαπρός · παρὰ τὸ σήπω σαπρός, ὡς παρὰ τὸ λέπω λεπρός. b. Et. Gen. AB s. v. σαπρός (unde Et. Sym. cod. V ap. Gaisf. EM 1997 D): σαπρός · ἀπὸ τοῦ σήπω, ὡς λέπω λεπρός. Zenob.

591 Athous I ξη′ (vide Miller, Mélang. p. 356): Σαρδόνιος γέλως · μέμνηται ταύτης Ὅμηρος (υ 302) καὶ Πλάτων (Rep. 337 A). εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν μὴ ἐκ καθαρᾶς τῆς διανοίας μηδὲ χαιρούσης γελώντων. λέγουσι δέ, ὅτι ἐν Σαρδόνι γίγνεται βοτάνη σελίνῳ παραπλησία, ἣν οἱ προσενεγκάμενοι δοκοῦσι μὲν γελᾶν, σπασμῷ δὲ ἀποθνῄσκουσι. Φιλόξενος δέ φησιν ἐνίους ἱστορεῖν, ὅτι ἐν Σαρδοῖ τῇ νήσῳ ξόανόν ἐστι τοῦ Κρόνου προτεῖνον τὰς χεῖρας, ἐφ’ οὗ τοὺς οἰκοῦντας ἐπιτιθέναι τὰ βρέφη ταῖς χερσὶ τοῦ ξοάνου καὶ ἀπογελᾶν, εἶτα ἀποθνῄσκειν. καὶ διὰ τὸ γελᾶν τοῦτο κεκλῆσθαι τὸν ἐπιθανάτιον γέλωτα. Et.

592 Gen. AB s. v. σίγμα (unde EM 707, 10): σίγμα · παρὰ τὸ σίζω σίγα καὶ σίγμα. ἀπὸ τῆς περὶ τὸν φθόγγον δυνάμεως. Φιλόξενος. a.

593* Or. 149, 1 in sede Philoxeni: σκαρδαμύττειν · παρὰ τὸ μύω μύσσω καὶ παράγωγον, ὡς ἀφύω ἀφύσσω· παρὰ τὸ σκαίρειν, τὸ μύειν ἐν τῇ συνεχεῖ κινήσει τῶν βλεφαρίδων. b. Et. Gen. AB s. v. σκαρδαμύσσειν (unde EM 715, 4): σκαρδαμύσσειν · παρὰ τὸ μύω μύσσω γίνεται παράγωγον, ὡς ἀφύω ἀφύσσω, καὶ παρὰ τὸ σκαίρειν, τὸ κινεῖν τὴν συνεχῆ κίνησιν τῶν βλεφάρων, ἃ δὴ τὸ μύειν παρέχουσιν. τὸ δὲ σκαίρω ἀποβολῇ τοῦ ς καίρω καὶ διπλασιασμῷ καρκαίρω, ἔνθεν καὶ τὸ „κάρκαιρε δὲ γαῖα πόδεσσιν“ (Υ 157), οἷον ἐν κινήσει καὶ ταραχῇ ἡ γῆ ἐγένετο διὰ τὸ πλῆθος τῶν σειόντων αὐτὴν ποδῶν. σκαίρω οὖν καὶ καίρω κατὰ ἀποβολήν, ὅθεν σύνθετον τὸ καρδαμύσσειν ἀποβολῇ τοῦ ς εἴρηται· ἀμφότερα γὰρ εἴρηνται παρὰ τὸ κινεῖν καὶ μύειν τὰ βλέφαρα· καρδαμύσσειν παρὰ Ἀριστοφάνει καὶ σκαρδαμύσσειν ἐν Ἱππεῦσι (292)· „βλέψον εἰς ἐμὲ ἀσκαρδάμυκτοσ“. Or.

594* 148, 36 in sede Philoxeni (unde Et. Gen. AB s. v. σκαρθμός): σκαρθμός · παρὰ τὸ σκαίρω σκαρμός, καὶ πλεονασμῷ τοῦ θ σκαρθμός, ὡς παρὰ τὸ ἄρσω ἁρμὸς καὶ ἀρθμός. Or.

595* 149, 4 in sede Philoxeni (unde Et. Gen. AB s. v. σκάφος): σκάφος · παρὰ τὸ σκάπτω, ὃ δηλοῖ τὸ κοιλαίνω, εἴρηται. Schol.

596 A ad ε 887 a 1 Erbse (ex Herodiano, vide 2, 53, 27 L.): ζώς· τὸ ζὼς ὁ Ἀσκαλωνίτης (p. 47 Baege) ἀξιοῖ περισπᾶν, οὐχ ὑγιῶς· μόνον γὰρ τὸ σῶς ἐστι περισπώμενον μονοσύλλαβον εἰς ως λῆγον ἀρσενικόν, γεγονὸς ἢ ἐκ τοῦ σόος, ὡς οἴεται Φιλόξενος, ἢ ἐκ τοῦ σάος, ὅπερ κρεῖττον. εἰ δὲ ὁ Ἀσκαλωνίτης ⟨περισπώμενον⟩ ἀξιοῖ αὐτὸ ἐκ τοῦ ζωός, ἴστω ὅτι κτλ. Choer.

597 Orth, AO 2, 259, 22: Στάγιρα · ἔστι δὲ ὄνομα πόλεως. διὰ τοῦ ι γράφεται κατὰ τὴν παράδοσιν. Φιλόξενος δὲ διὰ τῆς ει διφθόγγου λέγει αὐτὸ γράφεσθαι διὰ τὸ λέγειν τὸ Στάγειρος καὶ τὰ Στάγειρα· καὶ γὰρ ἔθος ἔχουσιν τὰ διὰ τοῦ ειρος ῥηματικὰ οὐδέτερα λέγειν καὶ διὰ τῆς ει διφθόγγου γράφειν, οἷον ὀνῶ ὄνειρον, μάσσω μάγειρος. Or.

598*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

148, 25 in sede Philoxeni (unde Et. Gen. AB s. v. στατήρ = EM 725, 11): στατήρ · παρὰ τὸ ἵστημι στήσω στατήρ. καὶ παρ' ἡμῖν ἐπὶ τοῦ νομίσματος τίθεται· οἱ δὲ ἀρχαῖοι ἐπὶ τοῦ δανείζειν. Or.

599* 147, 31 in sede Philoxeni (unde Et. Gen. AB s. v. στιλπνός): στιλπνός · παρὰ τὸ στίλβω στιλπνός, ὡς τέρπω τερπνός. Or.

600* 149, 5 in sede Philoxeni (unde Et. Gen. AB s. v. στραβός = EM 729, 41): στραβός · παρὰ τὸ στρέφω, τροπῇ τοῦ ε εἰς α καὶ τοῦ φ εἰς β, οἷον ὁ διεστραμμένος τοὺς ὀφθαλμούς. Et.

601 Gen. AB s. v. στρέβλη (fort. ex Orione), unde EM 729, 48: στρέβλη · παρὰ τὸ στρέφω, ὁ μέλλων στρέψω, στρέβλη, ὡς στήσω στήλη. οὕτως Φιλόξενος. Or.

602* 147, 18 in sede Philoxeni (unde Et. Gud. cod. z p. 408): στρεβλός · παρὰ τὸ στρέφω καὶ διαστρέφω. Or.

603* 147, 19 in sede Philoxeni (unde Et. Gen. AB s. v. συλλήβδην = EM 734, 14; Et. Gud. cod. z p. 409): συλλήβδην · ἐκ τοῦ λήβω λήψω, τὸ παθητικὸν λήψομαι, λήβδην ἐπίρρημα καὶ συλλήβδην. Or.

604* 152, 27 in sede Philoxeni (unde Et. Gen. AB s. v. τανηλεγής = EM 745, 34): τανηλεγής · παρὰ τὸ λέγω, τὸ κοιμῶμαι, καὶ παρὰ τὸ ταναὸν ταναλεγὴς καὶ τανηλεγής, ὁ αἰώνιον κοίμημα καὶ μακροχρόνιον ἔχων. Et.

605 Gen. AB s. v. τεμένη (unde EM 751, 42): τέμενος · ... ὁδὲ Φιλόξενος παρὰ τὸ τέμνω τέμνος καὶ πλεονασμῷ τοῦ ε τέμενος. Or.

606* 152, 30 in sede Philoxeni (unde Et. Gen. B s. v. τέρσεσθαι, deest A = EM 753, 38): τέρσεσθαι · παρὰ τὸν θέρσω μέλλοντα Αἰολικόν, καὶ τροπῇ τοῦ θ εἰς τ. Et.

607 Gen. B s. v. τέτλαμεν (ex Herodiani libro Περὶ παθῶν, gl. om. A), unde EM 754, 3. 5; Et. Sym. cod. V ap. Gaisf. EM 2115 B: τέτλαμεν · ... ὁ δὲ Φιλόξενος ἀξιοῖ εἶναί τι καὶ τέτλημι ῥῆμα, ἐξ οὗ γενέσθαι τὸ τέτλαθι. Or.

608* 153, 25 in sede Philoxeni (unde Et. Gen. AB s. v. τραπέουσι, de cod. *B vide Miller, Mélang. p. 284 EM 763, 51): τραπέουσι (η 125)· δηλοῖ τὸ πατοῦσι. παρὰ τὸ τρέπω. Or.

609* 153, 9 in sede Philoxeni (unde Et. Gen. AB s. v. τροπός; Et. Gud. 536, 32 St., cod. z p. 425): τροπός · ὁ τροπωτὴρ τῆς κώπης. παρὰ τὸ τρέπειν ὅπου δεῖ τὴν κώπην. τρέπω τροπός, ὡς πέμπω πομπός. a.

610* Or. 154, 1 in sede Philoxeni (unde Et. Gud. cod. z p. 425): τρυφή · παρὰ τὸ θρύπτω θρυπτὴ καὶ τρυφή. b. Et. Gud. 536, 20 St. et cod. z p. 425 (unde EM 771, 20): τρυφή · παρὰ τὸ θρύπτω, τὸ διακλῶ, θρυπτὴ καὶ τρυφή· ἡ διακλῶσα καὶ ἀφανίζουσα ἡμῶν τὸ σῶμα. καὶ Ὅμηρος (Γ 363)· „τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρόσ“. Or. [5]

611* 153, 26 in sede Philoxeni (unde Et. Gen. AB s. v. τρώγλη = EM 770, 44; Et. Gud. 536, 55 St.): τρώγλη · παρὰ τὸ τρώγω τρώξω τρώγλη· τὸ διαβεβρωμένον καὶ τετρημένον μέρος τοῦ τοίχου. Et.

612 Gen. B s. v. ὑετός (deest A), unde EM 775, 1; Et. Gud. cod. z P. 428: ὑετός · παρὰ τὸ ὕω, τὸ βρέχω, ὑτὸς καὶ πλεονασμῷ τοῦ ε ὑετός. Φιλόξενος. Or.

613* 157, 15 in sede Philoxeni (unde Et. Gen. B s. v. ὑπερβασία, deest A = EM 778, 19): ὑπερβασία · κυρίως ἐπὶ τῶν ὑπερβαινόντων τοὺς ἰδίους ὅρους. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς ὑπερηφανίας· δοκοῦσι γὰρ οἱ ὑπερήφανοι ποιεῖν τι ὑπὲρ ἑαυτούς. Or.

614 155, 2 (unde Et. Gen. B s. v. ὑπήνη; vide Reitz., Gesch. p. 245, deest A = EM 780, 30; Et. Gud. cod. D fol. 136 r , cod. z p. 430, cf. p. 543, 34 St.; Et. Sym. ap. Reitz., Gesch. p. 254—55): ὑπήνη · ... οἱ δὲ

παρὰ τὸ ἵημι, οὗ ὁ μέλλων ἥσω, ἥνη καὶ ὑπήνη· παρὰ τὴν ἕσιν τῶν τριχῶν. οὕτω Φιλόξενος. Cod.

615 Tischendorfianus Lips. II fol. 19 r ap. Reitz., Gesch. p. 307: [ φα]είνω · ει· καὶ ἴσως [ἀπὸ τοῦ ... φαει]νὸς καὶ φαεννός ... [οἶ]μαι ει ἡ παράδοσις ... Φιλόξενος καὶ Ἀπο[λλώνιος]. Or.

616 160, 19: φαρέτρα · 〈παρὰ τὸ φέρω〉 φέρτρα, μετὰ πλεονασμοῦ καὶ τροπῇ τοῦ ε εἰς α φαρέτρα· ἐπλεόνασε δὲ τὸ ε· φάρτρα γὰρ ὤφειλεν εἶναι ἰσοσυλλάβως τῷ ῥήματι, ὡς μάσσω μάκτρα, καλύψω καλύπτρα. οὕτω Φιλόξενος. Or.

617* 161, 20 in sede Philoxeni (unde Et. Gen. AB s. v. φάρυγξ = EM 788, 30; Et. Gud. 547, 33 St.): φάρυγξ · ὁμοίως παρὰ τὸ φέρω· δι' ἧς φέρεται τὸ πνεῦμα. καὶ ἔστι παρώνυμον· φέρω φόρος καὶ φάρος καὶ παρωνύμως φάρυγξ. Cod.

618 Tischendorfianus Lips. II fol. 19 V ap. Reitz., Gesch. p. 308; Cyrilli Lex. cod. b fol. 301 r (vide Cramer, ap 4, 193, 15): Φειδύλος · ει· οὕτως καὶ Ἀρχίας καὶ Φιλόξενος καὶ Ἀπολλώνιος. Ἀλεξίων δὲ (fr. 16 Berndt) διὰ τοῦ ι, ἐπεὶ ὀνοματικόν. Cod.

619 Tischendorfianus Lips. II fol. 19 r ap. Reitz., M. T. Varro und Joh. Mauropus p. 84 (cf. Gesch. p. 307): [ φθε]ισήνωρ · ει ἡ παράδοσις [καὶ οἱ παλαιοὶ γραμματικ]οί, ἴσως ἀπὸ τοῦ [φθείσω. τοῦτο δὲ Ἀ]λεξίων (fr. 22 Berndt) καὶ Φιλόξενος [διὰ τοῦ ι γράφουσιν] κατὰ τὴν ἀναλογίαν [τοῦ φθίω, ὡς Ὅμηρος] (Σ 446) „ἦ τοι ὃ τῆς ἀχέων [φρένας ἔφθιεν“· καὶ „ἀπ]ὸ δ' ἔφθιθεν ἐσθλοὶ [ἑταῖροι“ (Ψ 331). τὴν δὲ διὰ τ]οῦ [ι] γραφὴν Δίδυμος [ἐν τῷ β′ ὑπομνήματ]ι αὐτοῦ τῷ Τρύφω[νι ἑπόμενος ἐλέγχει λ]έγων· ἐπεὶ ἡ παράδοσ[ις ἔχει τὸ ει „φθεισή]νωρ“ (Β 833) καὶ „φθείσω“ (Ζ 407 ?) [οὐκ ἀποβλητέον. ἀλ]λ' εἰ ἔστιν τὸ φθίω, [ἐκ τοῦ φθῶ ἐστιν, το]ῦ δὲ φθῶ τ 〈ὸ〉 φ 〈θεί〉 [ω παράγωγον, ἔχον τὴν δί]φθογγον. ἔστιν δὲ [ὡσαύτως διὰ διφθόγγ]ου τὸ χλίω καὶ χλεί[ω καὶ τίω, ἀφ' οὗ ἀτίω κ]αὶ τείω, ἀφ' οὗ ἡ [τεῖσις, καὶ ἴω, τὸ εἶ]μι, καὶ εἴω, ἀφ' οὗ „ἐγ[κίκρα, ὡς εἴω“ (Sophr. fr. 48 Kaibel). καὶ δίω ι κ]αὶ δείω ει γράφου[σιν, ἀφ' οὗ δέδια καὶ] δείδια, ἀφ' οὗ καὶ δέος, [καὶ χίω καὶ χείω ...]των μὲν χιών, ἀφ' οὗ αἱ [χειαὶ καὶ χείσεται]. Or.

620* 162, 8 in sede Philoxeni: φλέω ἐστὶ ῥῆμα, ὅπερ καὶ φλύω εἴρηται, ὡς ῥέω ῥύω, ξέω ξύω. παρὰ τὸ φλέω ἐστὶ τὸ φλύω. Or.

621* 160, 32 in sede Philoxeni: φλιαί · αἱ παραστάδες τῶν θυρῶν. παρὰ τὸ θλίβω θλίψω θλιαί, καὶ μεταθέσει τοῦ θ εἰς φ φλιαί. a.

622* Or. 161, 18 in sede Philoxeni: φοῖνιξ · παρώνυμον παρὰ τὸ φοινὸν δηλοῦν τὸ πυρρόν. φοινὸς φοῖνιξ. b. Et. Gen. B s. v. Φοίνικες (deest A): Φοίνικες · ... παρὰ οὖν τὸ φοινὸν δηλοῦν τὸ ἐρυθρόν, ἤγουν τὸ πυρρόν, γίνεται παρώνυμον φοῖνιξ· „τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἔην“ (Ψ 454). τοιοῦτόν ἐστι καὶ τὸ λᾶς· „λᾶος ὑπὸ ῥιπῆσ“ (Μ 462) λᾶϊγξ παρώνυμον κατὰ πλεονασμὸν τοῦ γ· „λάϊγγες ποτὶ χέρσον“ (ζ 95). Or.

623* 162, 1 in sede Philoxeni (unde Et. Gen. B s. v. φορμός, deest A = EM 798, 54): φορμός · ἀπὸ τοῦ φέρω φορμός. Or.

624* 162, 11 in sede Philoxeni (unde Et. Gen. B s. v. φόρτος, deest A = EM 798, 46; Et. Gud. cod. z p. 440): φόρτος · παρὰ τὸ φέρω φέρτος καὶ τροπῇ τοῦ ε εἰς ο φόρτος. Or.

625* 161, 23 in sede Philoxeni: φρίκη καὶ φρίξ · παρὰ τὸ φρίσσω, οὗ μέλλων φρίξω, ἀφ' οὗ φρίκη. καὶ τοῦ φρίξω ἀποβολῇ τοῦ ω φρίξ, ὡς ἁρπάζω ἁρπάξω ἅρπαξ. Or.

626* 160, 34 in sede Philoxeni: φρούριον · οὐκ ἀπὸ τοῦ φρουρός· ἦν γὰρ ἂν φρουρεῖον, ὡς 〈ἰατρὸσ〉 ἰατρεῖον, διὰ τῆς ει διφθόγγου. ἀλλ' ἀπὸ τοῦ οὐδετέρου γέγονεν προόριον φρούριον. ἡ δὲ μετάθεσις τοῦ π εἰς φ διὰ τὴν ἐπιφερομένην δασεῖαν τοῦ ὁρῶ. Or.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

627* 160, 18 in sede Philoxeni: φυλή · φύω φύσω φυλή. a.

628* Or. 160, 17 in sede Philoxeni: φύσις · ἡ φύουσα ἐν ἅπασι. b. Or. 617, 10 Werf. (unde Et. Gen. AB s. v. φύσις = EM 802, 51): φύσις · παρὰ τὸ φύω φύσω φύσις· ἡ ἐν ἅπασι φύουσα καὶ κινουμένη. Et.

629* Gen. AB s. v. φύτλη (unde Et. Sym. cod. V ap. Gaisf. EM 2244 A): φύτλη · ἡ φύσις. ὡς ζεύγω ζεύξω ζεύγλη, τρώγω τρώξω τρώγλη, οὕτω φύω φύσω φύτλη. Or.

630* 165, 24 in sede Philoxeni: χείμεθλα · 〈 *** 〉 παρὰ τὸ χέω καὶ χεῖμα· ἐν γὰρ τοῖς χειμῶσι τοῦτο συμβαίνει. a.

631* Or. 165, 28 in sede Philoxeni: χηρωστής · παρὰ τὸ χηρῶ ῥῆμα τρίτης συζυγίας. χῆρος χηρῶ. χηρωσταὶ δὲ οἱ τοῦ χήρου καὶ ἐρήμου συγγενῶν οἴκου κληρονόμοι. b. Et. Gen. B s. v. χηρωσταί (deest A): χηρωσταί · οἱ μακρόθεν γένους κληρονόμοι. γίνεται ἀπὸ τοῦ χηρῶ χηρώσω· „χήρωσε δ’ ἀγυιάς“ (E 642)· καὶ χηρωτής, ὡς γυψῶ γυψώσω γυψωτής, καὶ πλεονασμῷ τοῦ ς χηρωστής· ἐξ οὗ καὶ χήρα, ἡ ἔρημος καὶ μονωθεῖσα. Cyrilli Lex. [5]

632 cod. b fol. 309 r (vide Cramer, AP 4, 193, 26), Et. Gud. cod. d fol. 143 v (vide p. 570, 27 St.): χρῖσις · οὕτως ἡ παράδοσις. μαρτυρεῖ δὲ καὶ Ἀλεξίων (fr. 19 Berndt) καὶ Φιλόξενος. παρὰ τὸ χρίω, τὸ ἀλείφω· ὅτε γὰρ δηλοῖ τὸ μαντεύομαι διὰ τῆς ει διφθόγγου γράφεται. Or.

633* 165, 26 in sede Philoxeni (unde Et. Gen. B s. v. χωρίς; Et. Gud. 572, 10 St.): χωρίς · παρὰ τὸν χωρίσω μέλλοντα ἀποβολῇ τοῦ ω τὸ ἐπίρρημα ἐγένετο. Or.

634* 171, 1 (unde Et. Gen. B s. v. ὦλκα, deest A = EM 821, 35): ὦλκα · „ἱεμένω κατὰ ὦλκα“ (N 707). παρὰ τὸν ἕλξω μέλλοντα ἕλξ, τροπῇ τοῦ ε εἰς ο ὄλξ καὶ ἐπεκτάσει τοῦ ο εἰς ω ὦλξ. FRAGMENTA DUBIA EM 1, 32; Et.

635** Sym. 2, 11 = S.: 〈 ἀάσχετος 〉 · ἀπὸ τοῦ σχῶ σχῆμι ἔσχηκα ἔσχεμαι ἔσχεσαι ἔσχεται σχετὸς καὶ ἄσχετος· καὶ πλεονασμῷ τοῦ α ἀάσχετος. EM 1, 20 (ex Et.

636** Gen.), Et. Sym. 4, 19 S.: ἄατος · ... ἢ ἀπὸ τοῦ ἄω, τὸ βλάπτω, ἄσω ἆτος καὶ ἄατος. a.

637** Et. Gud. 32, 6 Stef.: ἆθλον · ἀγώνισμα. παρὰ τὸ τλῶ, τὸ καρτερῶ, τλὸν καὶ ἆτλον· καὶ τροπῇ τοῦ τ εἰς θ ἆθλον, τὸ τῷ νικῶντι διδόμενον. b. Et. Gen. B s. v. ἀεθλεύειν (unde EM 19, 25; Et. Sym. 68, 12 S.): ἀεθλεύειν· ... τοῦτο (i. e. ἆθλον ) παρὰ τὸ τλῶ, τὸ καρτερῶ, τλὸν καὶ ἆτλον· καὶ τροπῇ τοῦ τ εἰς θ ἆθλον. Et. [5]

638** Gen. B s. v. ἀκμῆτες (unde EM 49, 27): ἀκμῆτες · ... παρὰ τὸ κάμω, κατὰ συγκοπὴν κμῶ 〈καὶ ἐξ αὐτοῦ κμήσ〉 , καὶ μετὰ τοῦ στερητικοῦ α ἀκμής· „ῥεῖα δέ κ’ ἀκμῆτεσ“ (Λ 802). Or.

639** 10, 6 (unde Et. Gen. B s. v. ἀλαῶσαι): ἀλαῶσαι · ... ἢ κατὰ στέρησιν τοῦ λάειν, ὅ ἐστι βλέπειν. Et.

640** Gen. AB s. v. ἀμάρυγμα καὶ ἀμαρυγάς (vide Reitz., Gesch. p. 14, 16. 22), unde EM 77, 30. 36 (mutato ordine): ἀμάρυγμα καὶ ἀμαρυγάς · σημαίνει τὰς τῶν ὀφθαλμῶν ἐκλάμψεις ... αἱ δὲ ἐκλάμψεις εἴρηνται παρὰ τὸ μαίρω, τὸ λάμπω, ὁ μέλλων μαρῶ, ἐξ οὗ παράγωγον μαρύσσω καὶ πλεονασμῷ τοῦ α ἀμαρύσσω, ἠμάρυγμαι, ἀμαρυγὴ καὶ ἀμάρυγμα. οὕτω Μεθόδιος. Et. [5]

641** Gen. AB s. v. ἄπαστος (ex Methodio), unde EM 118, 44; et. Gud. 160, 12 Stef.: ἄπαστος · ὁ ἄγευστος. παρὰ τὸ πῶ, τὸ ἐσθίω, ἐξ οὗ καὶ πόα, ἡ βοτάνη, καὶ πηγὸς καὶ φηγός· ἡ πρώτη γὰρ τροφὴ ἀπὸ δρυῶν. πῶ οὖν, παράγωγον πατῶ, ὡς μῶ, τὸ ζητῶ, ματῶ, ὅθεν καὶ μαστός· πέπασμαι πέπασαι πέπασται παστός, ὁ βεβρωκώς, καὶ ἄπαστος· „οἱ δὲ δὴ ἄλλοι / οἴχονται μετὰ δεῖπνον, ὁ δ’ ἄκμηνος καὶ ἄπαστοσ“ (T 345—46) Et. [5]

642** Gen. A s. v. ἀπροτίμαστος (fort. ex Orione; om. B), unde EM 133, 2: ἀπροτίμαστος · ... παρὰ τὸ μαίω, τὸ ζητῶ, ἡ μὴ ἐπιζητηθεῖσα πρὸς μίξιν. ἢ παρὰ τὸ μαστεύω, τὸ ζητῶ, ὅθεν καὶ μαστός. Et.

643**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Gen. AB s. v. ἄσις (unde EM 153, 27): ἄσις· ... τὸ δὲ ἄση γέγονε παρὰ τὸ ἄτω ἄσω, ὅθεν „ἆσέ με δαίμονος αἶσα κακή“ (λ 61). ἄσω ἄση, ὡς μνήσω μνήμη, κνήσω κνήμη. Et.

644** Gen. AB s. v. ἄτη (unde EM 163, 37): ἄτη · σημαίνει τὴν βλάβην. παρὰ τὸ τῶ, ὃ δηλοῖ τὸ λαμβάνω, οἷον „Κύκλωψ, τῆ, πίε οἶνον“ (ι 347), ἐξ οὗ ὄνομα ῥηματικὸν τή, καὶ μετὰ τοῦ στερητικοῦ α ἄτη, ἣν οὐκ ἄν τις λάβοι· τὴν γὰρ βλάβην πάντες ἐκφεύγομεν. Et.

645** Gen. AB s. v. ἆτος (unde EM 164, 54 ): ἆτος · ὁ ἀπλήρωτος. παρὰ τὸ τῶ, τὸ ζητῶ, γίνεται ῥηματικὸν ὄνομα μετὰ τοῦ ἐπιτατικοῦ α ἆτος, ὁ ἀκόρεστος· ὁ γὰρ ἀκόρεστος πάντοτε αἰτεῖ. Et.

646** Gen. AB s. v. αὐτόματος (fort. ex Orione), unde EM 173, 7: αὐτόματος · αὐτόκλητος καὶ αὐτοπρόθυμος. παρὰ τὸ μῶ, τὸ προθυμοῦμαι, ὅθεν καὶ μεμαυῖα ἡ μετοχή, ὁ παθητικὸς παρακείμενος μέμαμαι, μέμασαι, μέμαται, καὶ ὥσπερ παρὰ τὸ κέκριται γίνεται κριτὸς καὶ βέβαται βατὸς καὶ ἄβατος, οὕτως καὶ παρὰ τὸ μέμαται ματὸς καὶ αὐτόματος, ὁ αὐτοπρόθυμος. ἢ παρὰ τὸ μαστεύω, τὸ ζητῶ, μαστὸς καὶ αὐτόματος, ὁ αὐτοζήτητος καὶ μὴ παρ’ ἑτέρου ζητηθείς. Et.

647** Gen. AB s. v. ἀφερτή (unde EM 176, 29): ἀφερτή · οἷον „ἀφερτὴ δ’ ἀρετή“. ἀπὸ τοῦ φέρω γίνεται φερτὸς καὶ φερτὴ καὶ ἀφερτή. ἐκ δὲ τοῦ φερτὸς καὶ προφερέστερος τὸ συγκριτικὸν καὶ προφερέστατος. Et.

648** Gen. AB s. v. ἀχάναι (unde EM 180, 19): ἀχάναι · σκεῦος εἰς ἐπισιτισμὸν χρήσιμον. Ἀριστοφάνης (Ach. 108)· „οὔκ, ἀλλ’ ἀχάνας ὅδε γε χρυσίου λέγει“. εἴρηται παρὰ τὸ χαίνειν χάνη καὶ ἀχάνη τοῦ α ἐπιτατικοῦ νοουμένου, ὡς τὸ ἀχανές πέλαγος. Et.

649** Gen. A s. v. βάρδιστος (gl. om. B), unde EM 188, 22. 24: βάρδιστος · ... εἶτα (i. e. ἐκ τοῦ βραδύς) βραδίων βράδιστος καὶ ἐν ὑπερθέσει βάρδιστος. Et.

650** Gen. AB s. v. γλαύξ (fort. ex Orione), unde EM 233, 10): γλαύξ · ... παρὰ τὸ γλαύσσω γλαύξω, κατὰ ἀφαίρεσιν τοῦ ω γλαύξ, ὡς θήσω θὴς καὶ ἀΐσσω ἀΐξω αἴξ· ἔστι γὰρ ὀξυωπέστατον τὸ ζῷον καὶ ἐν νυκτὶ ὁρᾶν δυνάμενον. Et.

651** Gen. B s. v. γόγγρος (deest A), unde EM 237, 44 (cf. Et. Sym. cod. V ap. Gaisf. EM 686 A): γόγγρος · εἶδος ἰχθύος. παρὰ τὸ γρῶ, ὃ σημαίνει τὸ ἐσθίω, ἀφ’ οὗ Καλλίμαχος γράω (fr. 551 Pf.)· „ὃς αἰζηῶν ἔγραε κηδεμόνοσ“, ἀντὶ τοῦ ἤσθιεν· ἀφ’ οὗ ὄνομα ῥηματικὸν γρός, ὃ καθ’ ἑαυτὸ οὐ ῥητόν· ἐν διπλασιασμῷ γόγγρος· ἀπεσθίει γὰρ τῶν πολυπόδων τάς πλεκτάνας. Et.

652** Gen. AB s. v. διασφάξ (unde EM 270, 27): διασφάξ · ὁ διεστὼς τόπος. Ἡρόδοτος (7, 199)· „τοῦ ὄρεός ἐστι διασφάξ“. καὶ (ibid.) „διὰ τῆς διασφάγος Ἀσωπὸς ῥεῖ“. εἴρηται ὡς ἀπὸ τοῦ θερίζω θρὶξ καὶ βαστάζω βαστάξω βάσταξ καὶ νεκροβάσταξ, οὕτως ἀπὸ τοῦ σπῶ σπάζω σπάξω καὶ σπὰξ καὶ σφὰξ καὶ διασφάξ. Or.

653** 61, 31: εἴκελος · παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ, ἀφ’ οὗ καὶ εἰκών, ὡς παρὰ τὸ ἄγω ἀγκών. Et.

654** Gen. A I B s. v. εἴρω (unde EM 304, 22): εἴρω · τὸ λέγω. παρὰ τὸ ὦ τὸ σημαῖνον τὸ λέγω, οὗ παράγωγον ἠμί, ἀφ’ οὗ παράγωγον τὸ „ἦ καὶ κυανέησιν ἐπ’ ὀφρύσιν“ (Α 528). ὡς οὖν ἄγω ἀγείρω, ἔθω ἐθείρω, οὕτως καὶ ἀπὸ τοῦ ὦ εἴρω. Eust.

655** 672, 3: δῆλον δὲ καὶ ὅτι Ἐρευθίων ἐστὶ τὸ πρωτότυπον (sc. νομινις προπριι Ἐρευθαλίων), ἡ δὲ αλ συλλαβὴ ἐπλεόνασε διὰ λειότητα φωνῆς. Et.

656** Gen. A I B s. v. ἔχθιστος (unde EM 405, 52): ἔχθιστος · ... παρὰ τὸ ἐχθρὸς ἐχθρότατος ἐχθρίων καὶ ἀποβολῇ τοῦ ρ ἐχθίων ἔχθιστος. Et.

657** Gen. AB s. v. ζαὴν ἄνεμον (unde EM 407, 1): ζαὴν ἄνεμον · ... Ὅμηρος (μ 313)· „ὦρσε δ’ ἐπὶ ζαὴν ἄνεμον“. ὥσπερ παρὰ τὸ πετῶ γίνεται πετήν, ὡς παρ’ Ἡσιόδῳ (fr. 336 M.-W.), οἷον „αἰὲν μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πετῆνα γενέσθαι“, οὕτως καὶ παρὰ τὸ ἄω, τὸ πνέω, γίνεται ἀὴν καὶ μετὰ τοῦ ζα ἐπιτατικοῦ μορίου ζαήν· τὸ γὰρ τέλειον ζαῆνα, ὡς πετῆνα, εἰ μὴ κατ’ ἔκθλιψιν γέγονε. Et.

658** Gen. AB s. v. ἥκιστα (unde EM 424, 32. 38; Et. Sym. cod. V ap. Gaisf. EM 1211 EF): ἥκιστα · τὸ οὐδαμῶς. παρὰ τὸ ἦκα ἐπίρρημα, οἷον „ἦκα μάλα ψύξασα“ (Υ 440). τὸ δὲ λέγειν παρὰ τὸ ἧσσον οὐχ ὑγιές· οὐ γὰρ λέγεται ἥσσιστα, ἀλλ’ ἥκιστα, ὡς μάλα μάλιστα. εἰ δὲ λέγοι τις παρὰ τὸ θᾶσσον οὐ λέγεται θάσσιστα καὶ παρὰ τὸ κρεῖσσον κρείσσιστα, ἀλλὰ τάχιστα καὶ κράτιστα, εἴσεται ὅτι ὡς παρὰ τὸ τάχιστος ἐγένετο τάχιστα καὶ παρὰ τὸ κράτος κράτιστα οὐδετέρως κατ’ ἐπιρρηματικὴν σύνταξιν, οὕτως καὶ παρὰ τὸ ἦκα ἥκιστος ἥκιστα. Et.

659** Gen. AB s. v. ἤνοπι (unde EM 432, 36; Et. Sym. cod. V ap. Gaisf. EM 1233 C): ἤνοπι · σημαίνει τῷ λαμπρῷ. παρὰ τὸ ὄπτω ὄψω γίνεται ὄψ, ὡς κλείω κλείσω κλεὶς καὶ θήσω θής, καὶ ἐν συνθέσει ἔνοψ καὶ ἤνοψ, ἐν ᾧ ἐστιν ἐνοπτρίσασθαι καὶ ἰδεῖν τοὺς ὦπας· λαμπρὸς γάρ· „ἐνὶ ἤνοπι χαλκῷ“ (Π 408). a.

660** Or. 70, 13: ἠπεροπέα · ἀπεροπέα φασὶ τοῦ περ συνδέσμου ἐν τῇ ἰδίᾳ θέσει πλεονάζοντος· ἀέπεα γὰρ εἶναι, οἷον τὸν τῷ λόγῳ κακῶς χρώμενον καὶ ἀπατεῶνα. τὸ δὲ α σημαίνει καὶ τὸ κακόν, ὡς εἶναι τὸ πρωτότυπον ῥῆμα ἔπω, ἀφ’ οὗ ὄνομα ὀπεύς, ὡς τρέφω τροφεύς, ἔχω ὀχεύς. b. Et. Gen. AB s. v. ἠπεροπευτής (unde EM 433, 41): ἠπεροπευτής · ... ἢ παρὰ τὸ ἔπω, τὸ λέγω, γίνεται ὀπεύς, ὡς φέρω φορεύς, ἔχω ἐχεὺς καὶ ὀχεύς, καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ κακόν, ὡς ἄφωνος ὁ κακόφωνος, γίνεται ἀοπεύς, ὁ τῷ λόγῳ κακῶς χρώμενος καὶ ἀπατῶν· καὶ μετὰ τοῦ περ περιττοῦ συνδέσμου ἀπεροπεύς, οἷον „ἅτε μὲν καὶ ἐπίκλοπον ἀπεροπέα“ (cf. λ 364) καὶ ἀπεροπός, ὡς παρὰ Ἀνακρέοντι (PMG 438, fr. 93 Page), οἷον „βούλεται ἀπεροπὸς ἡμῖν εἶναι“ καὶ θηλυκὸν ἀπεροπή, οἷον ἄοπος οὐδὲ προσλαλῆσαι ἡμῖν θέλων. ἢ ἄοπος ὁ ἀπρόσβλεπτος καὶ οὐδὲ εἰς ὄψιν ἐλθεῖν θέλων· ἀπεροπεὺς οὖν καὶ ἠπεροπεύς· ἐκ τούτου ῥῆμα ἠπεροπῶ καὶ ἠπεροπεύω καὶ ῥηματικὸν ὄνομα ἠπεροπευτής. a.

661** Or. 71, 18 (unde Et. Gud. 262, 18 St.): θήγω · τὸ ἀκονῶ. ἔλλειψις τοῦ ο· παρὰ τὸ θοῶ θοήγω καὶ θήγω. b. Et. Gen. AB s. v. θήγω (unde EM 450, 15): θήγω· τὸ ἀκονῶ. παρὰ τὸ θοῶ θοήγω καὶ θήγω, τουτέστι {τὸ} θοὸν καὶ ὀξὺ ποιῶ. Ὅμηρος (ι 327)· „ἐγὼ δ’ ἐθόωσα παραστάσ“. EM 487, 31: καλλίων καὶ κάλλιστος · οὐκ ἀπὸ τοῦ καλός, ἀλλ’ ἀπὸ τοῦ κάλλος.

662** καὶ τοῦτο δηλοῖ καὶ ἡ γραφὴ καὶ ἡ σημασία. ἡ γραφή, ὅτι καλὸς δι’ ἑνὸςλ, τὸ δὲ κάλλιστος διὰ δύο· ἡ δὲ σημασία, ὅτι ὁ ποιητὴς τὸν καλὸν ἐπὶ τοῦ ἀνδρείου εἴωθε τάττειν, ὡς ἐκ τοῦ ἐναντίου τὸν κακὸν ἐπὶ τοῦ ἀσθενοῦς· τὸν δὲ Νιρέα εἰδὼς ἀσθενῆ, ὅμως φησὶ περὶ αὐτοῦ· „Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν“ (Β 673). a.

663** Et. Gen. AB s. v. κεστός (unde EM 506, 50): κεστός · ... παρὰ τὸ κάζω, τὸ κοσμῶ, γίνεται ῥηματικὸν ὄνομα καστὸς καὶ κεστός, ὁ κεκοσμημένος. b. Et. Gud. cod. z p. 259: κεστός · παρὰ τὸ κάζω καστός, ὁ κεκοσμημένος ταῖς διαβολαῖς· καὶ κατὰ μετάθεσιν τοῦ α εἰς ε κεστός. Et.

664** Gen. AB s. v. κεφαλή (ex Orione), unde EM 507, 9: κεφαλή · ... οἱ δὲ παρὰ τὸ κάπω, τὸ πνέω, καπαλὴ καὶ κεφαλή, οἱονεὶ ἡ διαπνέουσα, ὅθεν καὶ κῆπος, ὁ διαπνεόμενος τόπος· διὸ καὶ ἐν ταῖς οἰκίαις τὸ ἀποτεμνόμενον τόπον πρὸς ἀνάπνευσιν κῆπον λέγουσιν· παρὰ τὸ κάπω, τὸ πνέω· „ἀπὸ δὲ ψυχὴν ἐκάπυσεν“ (Χ 467), τουτέστι ἀπέπνευσεν. Et.

665** Gen. AB s. v. κήδιστος · λέγεται ὁ φροντιζόμενος, οἷον „ὅς μοι κήδιστος θ’ ἑτάρων ἦν κεδνότατός τε“ (κ 225). παρὰ τὸ κήδω, τὸ φροντίζω, γέγονεν ὄνομα ῥηματικὸν κῆδος. καὶ ὡς παρὰ τὸ κάλλος γίνεται καλλίων καὶ τὸ ὑπερθετικὸν κάλλιστος, οὕτως κῆδος κηδίων κήδιστος. Et.

666**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Gen. AB s. v. κῆπος (unde EM 511, 6; Et. Sym. cod. V ap. Gaisf. EM 1459 B): κῆπος · ὁ ἀποτετμημένος τόπος πρὸς ἀνάπνευσιν καὶ καταπνεόμενος. παρὰ τὸ κάπω, τὸ πνέω, κάπος καὶ κῆπος. Ep.

667** Hom. AO 1, 167, 13: 〈 κιγκρῶ 〉 · παρὰ τὸ κερῶ, ἀφ' οὗ καὶ τὸ „κερόωντό τε οἶνον“ (θ 470), καὶ συγκοπῇ κρῶ, διπλασιασμῷ κικρῶ, πλεονασμῷ τοῦ γ κιγκρῶ, ἀφ' οὗ παρὰ τῷ Σώφρονι (fr. 48 Kaibel) „ἐγκίκρα, ὡς εἴω“. Et.

668** Gen. AB s. v. κνάφος (unde EM 521, 35): κνάφος · ἀπὸ τοῦ κνῶ γίνεται κνάπτω, ὡς χῶ χάπτω, καὶ ῥηματικὸν ὄνομα κνάφος. σημαίνει δὲ ἀκανθῶδες φυτόν, ᾧ τὰ ἄθικτα τῶν ἱματίων ἐπισύροντες κατεργάζονται. Ἀλκαῖος· „μὴ μέγαν περὶ κνάφον περιστείχειν ἕνα κύκλον“. Et.

669** Gen. AB s. v. κύντερον (unde EM 546, 1): κύντερον · παρὰ τὴν κυνὸς γενικὴν γίνεται κυνώτερον καὶ συγκοπῇ κύντερον, οἱονεὶ χαλεπώτερον, ὡς μέλαν μελανώτερον καὶ μελάντερον. Et.

670** Gen. AB s. v. κυρηβάσει (ex Orione), unde EM 548, 5: κυρηβάσει · μαχήσεται. τίκτεται μὲν ἀπὸ τῶν κριῶν· ἔλεγον δὲ τὸ τοιοῦτον καὶ κορύττειν, οἷον κερίττειν· καὶ κυρηβάσει. Ὠρίων. a.

671** Et. Gen. λ 54 Adler—Alpers (unde Et. Sym. cod. V ap. Gaisf. EM 1596 F): λεῖον · τὸ ὁμαλόν. ἔστιν λαύω, τὸ ἀπολαύω, ὄνομα ῥηματικὸν λαῦος, καὶ τροπῇ τοῦ μὲν α εἰς ε τοῦ δὲ υ εἰς ι γίνεται λεῖος καὶ λεῖον, οὗ πᾶς τις ἐφίεται. b. Ep. alph. AO 2, 386, 2; Choer. Ep. Ps. 130, 10; Et. parv. s. v. λεαίνω (vide Miller, Mélang. p. 336), unde Et. Gud. 363, 51 St.: τοῦτο (sc. λαύω) παρὰ τὸ λῶ, τὸ θέλω, καὶ ἐξ αὐτοῦ παράγωγον λαύω καὶ ἐξ αὐτοῦ ὄνομα λαῦος καὶ τροπῇ τοῦ α εἰς ε λεῦος καὶ τοῦ υ εἰς ι λεῖος· τὰ γὰρ λεῖα καὶ ὁμαλὰ θέλομεν, ὥσπερ τὰ κρημνώδη ἐκφεύγομεν. Or.

672** 98, 8: Μαῖρα · ἡ κύων τοῦ Ὠρίωνος. παρὰ τὸ μαίρω, τὸ λάμπω, καὶ διπλασιασμῷ μαρμαίρω, ὅθεν μάρμαρος 〈 *** 〉. Or.

673** 98, 5; EM *574, 36: μαλερὸν πῦρ (cf. Ο 242)· τὸ μαραντικὸν ἢ τὸ λαμπρόν. παρὰ τὸ μαίρειν, ὅ ἐστι λάμπειν, ὅθεν τὸ μαρμαίρω 〈 *** 〉 πλεονασμῷ τοῦ ρ, ὡς εἶναι μαρερὸν καὶ τροπῇ τοῦ ρ εἰς λ μαλερόν. Et.

674** Gen. AB s. v. ὀδάξ (unde EM 615, 18): ὀδάξ · τοῖς ὀδοῦσι. παρὰ τὸ δάκω δάξω κατὰ ἀποβολὴν τοῦ ω δὰξ καὶ πλεονασμῷ τοῦ ο ὀδάξ. Or.

675** 133, 14 (unde Et. Gen. AB s. v. παῖς = EM 657, 38): παῖς · ... ἢ παρὰ τὸ παίζω, παίσω, ἀποβολῇ τοῦ ω παῖς· φίλον γὰρ τοῖς παισὶ τὸ παίζειν. Eust.

676** 527, 14: παλάσσεσθαι δὲ λέγει τὸ μολύνεσθαι· ἢ πλεονασμῷ τῆς αλ συλλαβῆς τὸ ἐπιπάσσεσθαι, ἀφ' οὗ καὶ ἡ παιπάλη. Et.

677** Gen. AB s. v. παροίτερος (unde EM 654, 6): παροίτερος · παλαιότερος καὶ ἀρχαιότερος. ἀπὸ τοῦ πάρος, ὃ σημαίνει τὸ πρὶν ἢ πάλαι, γίνεται παροίτερος καὶ παροίτατος. σημαίνει δὲ καὶ τὸ περαιτέρω, οἷον „καὶ δέ με μηκέτι τόνδε παροιτέρω ἐξερέεσθαι“ (Apoll. Rh. 2, 425). ἀπὸ τοῦ πάρος. σημαίνει δὲ καὶ τὸ πρῶτος· „ἄνδρα τὸν ὅς μιν ἔτυψε παροίτατοσ“ (Apoll. Rh. 2, 29). Et.

678** Gen. AB s. v. Περσεφόνη (unde EM 665, 47): Περσεφόνη · παρὰ τὸ φέρω καὶ τὸ φόνος, φερσεφόνη τις οὖσα, πρὸς ἣν ἀποφέρονται οἱ πεφονευμένοι· τροπῇ τοῦ φ εἰς τὸ π. a.

679** Or. 125, 12 in sede scholiorum: πηός · κυρίως ὁ κατ' ἐπιγαμίαν οἰκεῖος, οἷον ἐπίκτητος· παρὰ τὸ πάσασθαι καὶ μὴ αἵματι συγγενής· πῶμαι γὰρ τὸ κτῶμαι, ἔνθεν πάσω μέλλων καὶ πάμων ὄνομα ῥηματικόν. b. Ep. Hom. AO 1, 357, 19 (unde Et. Gud. 466, 44 St. et cod. z p. 371 = EM 669, 29): πηός · ... ἔστι γὰρ πῶ καὶ σημαίνει τὸ κτῶμαι, οὗ ὁ μέλλων πάσω, ἐξ οὗ πάμων καὶ πολυπάμων· γίνεται οὖν παὸς καὶ τροπῇ τοῦ α εἰς η πηός. a.

680**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Or. 133, 7: 〈 πρεσβεύς 〉 · πρεσβεύω πρεσβεύσω πρεσβεύς, ὡς ἱππεύω ἱππεύσω ἱππεύς. b. Et. Gen. AB s. v. πρέσβυς· … τὸ δὲ πρεσβεὺς παρὰ τὸν πρεσβεύσω μέλλοντα, ὡς ἱππεύσω ἱππεύς, βασιλεύσω βασιλεύς. Or.

681** 150, 29: στράτα · ἡ ἐστρωμένη ὁδὸς καλεῖται τῇ Λατίνων φωνῇ. Et.

682** Gen. B s. v. τρανός (gl. om. A), unde Et. Sym. cod. V ap. Gaisf. EM 2140 C: τρανός · παρὰ τὸ τλῶ, τὸ καρτερῶ, τλανὸς καὶ τροπῇ τρανός. Et.

683** Gen. AB s. v. τροφή (unde EM 769, 28; Et. Gud. cod. z p. 425): τροφή · παρὰ τὸ τρέφω, τὸ πήσσω· ἡ πηγνύουσα καὶ εὐσταθῆ ποιοῦσα τὰ σώματα. Or.

684** 159, 19 in sede Sorani: φαλιὸν γὰρ τὸ λευκόν. φῶ, τὸ λάμπω, φάω φάσω φαλὸς καὶ φαλιός· „φάε δὲ χρυσόθρονος Ἠώς“ (ξ 502). Et.

685** Gen. B s. v. φλόξ (deest A), unde EM 796, 25; Et. Sym. cod V ap. Gaisf. EM 2226 CD; Et. Gud. 554, 56 St. et cod. x p. 438: φλόξ · παρὰ τὸ φλέγω φλέξω φλὲξ καὶ φλόξ. Et.

686** Gen. AB s. v. φύξ (unde EM 802, 46): φύξ · παρὰ τὸν φύξω μέλλοντα. Or.

687** 163, 26 in sede Sorani: χεῖρες · … ἢ χειαί τινές εἰσιν, οἷον χωρητικαί. a.

688** Or. 168, 9: ψηνός · ὁ φαλακρὸς εἴρηται 〈παρὰ〉 Σιμωνίδῃ (fr 40 West). παρὰ τὸ ψῶ ψήσω ψηνός. b. Et. Gen. B s. v. ψηνός · ὁ φαλακρός. παρὰ τὸ ψῶ ὁμοίως καὶ ψήσω ψηνός. Apoll.

689** Dysc., De coniunct., Gramm. Gr. II 1, 248, 1—12 Schneider (agitur de coniunctionibus expletivis): καί φησι Χαιρήμων ὁ Στωϊκός (fr. 17 Schwyzer = FGrHist 618 F 9), ὡς κατά τι εἴησαν ἂν σύνδεσμοι (i. e. οἱ καλούμενοι παραπληρωματικοί). „σύνδεσμον γάρ“, φησί, „καλεῖσθαι καὶ αὐτὴν τὴν φωνὴν καὶ 〈τὸ ἐξ αὐ〉 τῆς δηλούμενον, ᾧ λόγῳ καί τινα ἕτερα σχήματα. φαμέν {τι} πατρωνυμικὸν καὶ τὸ ἐν χαρακτῆρι πατρωνυμικὸν καί 〈τι〉 ἐν δηλουμένῳ, καὶ ἔτι τὰ κτητικὰ καὶ ἄλλα πλεῖστα τοιαῦτα. ὡς οὖν τὸ τύπῳ πατρωνυμικῷ προσκεχρημένον, οὐ μὴν δηλουμένῳ, πατρωνυμικὸν καλεῖται, ὥσπερ τὰ τύπῳ ἀρσενικά, οὐ μὴν δηλουμένῳ, ἀρσενικὰ καλεῖται, οὕτω καὶ ἂν τύπῳ ᾖ ὁ παραπληρωματικὸς κεχορηγημένος συνδεσμικῷ, μὴ μὴν δηλουμένῳ, εἰρήσεται σύνδεσμος. ἀμέλει αὐτοὶ οἱ σύνδεσμοι πλεονάσαντες οὐδὲν συνδέουσι καὶ σύνδεσμοι καλοῦνται. οὐδὲν οὖν κωλύοι, καθότι καὶ ὁ Φιλόπονος ἀπεφήνατο, συνδέσμους καλεῖσθαι τοὺς παραπληρωματικούς.“ FRAGMENTA SPURIA Symeonis Synagoge (codd. [10]

690 ST s. v. κτήματα): κτήματα ἐπικτημάτων διαφέρει. κτήματα μὲν τὰ ἐν τῇ οἰκίᾳ, ἐπικτήματα δὲ τὰ ἐν ἀλλοτρίᾳ. δηλοῖ δὲ καὶ ἐν τῷ κατὰ ἀλλονήσω Φιλόξενος τὰ ἐν ἀλλοτρίᾳ γῇ ἐπικτήματα λέγων, τὰ δὲ ἐν τῇ πατρικῇ γῇ κτήματα. Galen.

691 , De composit. medicam. per genera VII 13 (XIII p. 1036 Kühn): ἄλλο ἄκοπον τὸ τοῦ γλουτοῦ, ὡς Φιλόξενος ὁ γραμματικός. κηροῦ λίτρας β′. ἀμμωνιακοῦ θυμιάματος λίτραν α′ κτλ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org